eul_wid: lcm-ab

*Ἀπολλόδωρος ὁ Ἀθηναῖος* · Apollodorus of Athens

# On the Gods

## *Ἀποσπάσματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

t1-44 ΠΕΡΙ ΘΕΩΝ. Photius Cod.

1a CLXI: Sopatri Ἐκλογαὶ διάφοροι ἐν βιβλίοις δυοκαίδεκα. ... Συνείλεκται δὲ αὐτῷ τὸ βιβλίον ἐκ πολλῶν καὶ διαφόρων ἱστοριῶν καὶ γραμμάτων. Τὸ μὲν οὖν πρῶτον περὶ τῶν παρ᾽ Ἕλλησι μυθολογουμένων θεῶν διαλαμβάνει· ὃ συνείλεκται ἐκ τῶν Ἀπολλοδώρου περὶ θεῶν γ′ λόγου. Ἀθηναῖος δὲ ὁ Ἀπολλόδωρος, καὶ γραμματικὸς τὴν τέχνην. Οὐκ ἐκ τοῦ τρίτου δὲ μόνον ἡ διαλογὴ αὐτῷ πεποίηται, ἀλλὰ δὴ καὶ ἐκ δ′ καὶ ε′ καὶ θ′, τοῦ τε α′ πάλιν καὶ ιβ′ καὶ ιε′ τε καὶ ις′ καὶ μέχρι τοῦ κδ′. Ἐν ᾗ συλλογῇ τά τε μυθικῶς περὶ θεῶν διαπεπλασμένα, καὶ εἴ τι καθ᾽ ἱστορίαν εἴρηται, περιείληφε, περί τε τῶν παρ᾽ αὐτοῖς ἡρώων καὶ Διοσκούρων καὶ περὶ τῶν ἐν Ἅιδου καὶ ὅσα παραπλήσια. LIBER I.

1b Stephan. Byz.: Δωδώνη ... Ἀπολλόδωρος δὲ ἐν α′ περὶ Θεῶν τὸν Δωδωναῖον οὕτως ἐτυμολογεῖ· «Καθάπερ οἱ τὸν Δία Δωδωναῖον μὲν καλοῦντες, ὅτι δίδωσιν ἡμῖν τὰ ἀγαθὰ, Πελασγικὸν δὲ, ὅτι τῆς γῆς πέλας ἐστίν.» Idem: Βωδώνη, πόλις Περῥαιβικὴ, ὡς Ἀπολλόδωρος. Ἕτεροι δὲ γράφουσι Βωδωναῖε· πόλιν γὰρ εἶναι Βωδώνην, ὅπου τιμᾶται. LIBER II.

2 Stobaeus Eclog.: Ἀπολλόδωρος ἐν τῷ δευτέρῳ περὶ Θεῶν Πυθαγορεῖαν εἶναι τὴν περὶ τούτων, τὸν αὐτὸν εἶναι Φωσφόρον καὶ Ἕσπερον, δόξαν. Erotian.

3 Lex. Hippocrat.: Χάριτες· αἱ Χαραί· ὡς καὶ Σοφοκλῆς ἐν Ἐλεγείᾳ. Μέμνηται καὶ Ἀπολλόδωρος ἐν δευτέρῳ περὶ Θεῶν, φησὶ δὲ αὐτὰς κληθῆναι ἀπὸ μὲν τῆς χαρᾶς Χάριτας. Καὶ γὰρ πολλάκις οἱ ποιηταὶ τὴν χάριν χαρὰν καλοῦσιν. LIBER III.

4 Schol. Apollon. Rh. I, 1124: Ἡ γὰρ δρῦς ἱερὰ τῆς Ῥέας, ὥς φησιν Ἀπολλόδωρος ἐν τρίτῳ περὶ Θεῶν. Δρυΐνοις δὲ αὐτούς φησι στέφεσθαι διὰ τὸ μεμερίσθαι τῇ θεῷ τὸ δένδρον τοῦτο, διὰ τὸ καὶ πρὸς στέγας καὶ πρὸς τροφὴν πρῶτον χρησιμεῦσαι. Joh.

5 Lyd. De mens. IV, 27: Οὐδὲ γὰρ ἄν τις εὕροι κυρίαν θεοῦ (Martis) προσηγορίαν, κατὰ τὸν Ἀπολλόδωρον, ἀλλ᾽ οὐδὲ φύσεως γνώριμα, ἐπεὶ LIBER VI.

5 Harpocration v. Ἀποπομπάς: Ἀποπομπαῖοί τινες ἐκαλοῦντο θεοὶ, περὶ ὧν Ἀπολλόδωρος ἐν ἕκτῳ περὶ Θεῶν διείλεκται. LIBER IX.

6 Steph. Byz.: Ἄρειος πάγος· ἀκρωτήριον Ἀθήνησιν, ὡς Ἀπολλόδωρος ἐν τῷ περὶ Θεῶν ἐννάτῳ, ἐν ᾧ τὰς φονικὰς κρίσεις ἐδίκαζον διὰ τὰς ἀπὸ τοῦ σιδήρου γιγνομένας μιαιφονίας. LIBER XIV.

7

Macrob. Sat. I, 17: Apollodorus in libro quartodecimo περὶ Θεῶν, ἰήϊον solem scribit ita appellari Apollinem ἀπὸ τοῦ κατὰ τὸν κόσμον ἱέσθαι καὶ ἱέναι, quod sol per orbem impetu fertur. LIBER XVI.

8 Steph. Byz. v. Ἀρκάς: Ἀπολλόδωρος ἐν τῷ περὶ Θεῶν ἑκκαιδεκάτῳ βιβλίῳ περὶ Δήμητρός φησιν, ὅτι Ἀρκάδια τῇ Δήμητρι μέλλοντες θύειν ἄνθρωποι ** ταύτην γὰρ τὴν θυσίαν συνεστήσαντο μετὰ τὸν πρῶτον σπόρον, ὅτι αὐτῆς ἐκ τῆς γῆς ἔμολεν ὁ καρπὸς εἰς τροφὴν καὶ σπόρον, καὶ οὕτω τὰ Ἀρκάδια τιμῆς χάριν. LIBER XVII.

9 Schol. Sophocl. Oed. Col. 502: Καὶ Ἀπολλόδωρος δὲ ἐν τῇ περὶ Θεῶν ἑπτακαιδεκάτῃ περὶ τοῦ τῶν Ἡσυχιδῶν γένους καὶ τῆς ἱερείας φησί. LIBER XX.

10 Porphyrius apud Stobaeum Ecl. phys. I, 52.: Τοῦ δὲ Ἀπολλοδώρου ἐν τῷ εἰκοστῷ περὶ τῶν Θεῶν συγγράμματι, ὅ ἐστι περὶ τοῦ Ἅιδου, τάδε περὶ τῆς Στυγὸς λεγόμενα εὕρομεν· «..... ἀρκτέον γὰρ ἀπὸ τούτων, τῆς τε τῶν ὀνομάτων παρεμφάσεως οὐ καταφρονητέον. Ἐκ γὰρ τοιούτων ὁρμώμενοι πιθανῶς καὶ τοὺς ἐν Ἅιδου νομιζομένους ποταμοὺς κατωνομάκασιν· Ἀχέροντα μὲν διὰ τὰ ἄχη, ὡς καὶ Μελανιππίδης ἐν Περσεφόνῃ. Καλεῖται δ’ ἐν κόλποισι Γαίας ἄχεα προχέων Ἀχέρων. Ἔτι καὶ Λικύμνιός φησι· Μυρίαις παγαῖς δακρύων Ἀχέρων ἀχέων τε βρύει. Καὶ πάλιν· Ἀχέρων ἄχεα βροτοῖσι πορθμεύει. Ἀχέρων δὲ καὶ Ἀχερουσία λίμνη ταυτὸν, ὡς καὶ Σοφοκλῆς ἐν Πολυξένῃ τὴν τοῦ Ἀχιλλέως ψυχὴν εἰσάγει λέγουσαν· Ἀκτὰς ἀπαιῶνάς τε καὶ μελαμβαθεῖς λιποῦσα λίμνης ἦλθον ἠχούσης γόους Ἀχέροντος ὀξυπλῆγας ἄρσενας χοάς· ἀκτὰς τῶν νεκρῶν λέγων παιῶνα οὐκ ἐχούσας, ἄρσενας δὲ χοὰς τὰς οὐδὲν ἐκτρεφούσας· θήλεα μὲν γὰρ τὰ καρποφόρα, ἄρσενα δὲ τὰ ἄγονα λέγονται, [διὰ] τὸ μὲν τὸ σπέρμα παρέχειν μόνον, τὴν δὲ καὶ ἐκτρέφειν. Ὅθεν καὶ θῆλυς ἐέρση, ἡ πολύγονος καὶ τροφίμη. Διαπεραιοῦσθαι δὲ ὑπὸ τῶν ἀπογινομένων τὸν Ἀχέροντά φασιν εἰκότως· ὁ γὰρ μετηλλαχὼς πάντα τὰ τοῦ ζῆν ἄχη σχεδὸν ὑπερῆρε, καὶ ἔστιν ἐν ἀπονίᾳ καὶ ἀλυπίᾳ πάσῃ. Γοργύραν δὲ τοῦ Ἀχέροντος γυναῖκα προσανέπλασαν, ἀπὸ τοῦ γοργὰ φαίνεσθαι τοῖς πολλοῖς τὰ ἐν Ἅιδου· καθὸ δὴ καὶ αὐτοῦ τούτου τιθήνην ὁ Σώφρων Μορμολύκαν ὠνόμασε.» Ταῦτα δὲ εἰπὼν περὶ τοῦ Ἀχέροντος Ἀπολλόδωρος ἐπάγει περὶ τῆς Στυγὸς αὐταῖς λέξεσι τάδε· «Στύγα δὲ δεινήν τινα καὶ φοβερὰν ὑποστησάμενοι δαίμονα, θεῶν ὅρκον, ἐν Ἅιδου τε ταύτην κατῴκισαν, καὶ τῆς προσηγορίας ταύτης ἠξίωσαν ἀπὸ τοῦ στυγνάζειν τοῖς πένθεσι, καὶ στύγεσθαι τὰ ἐν Ἅιδου. Ὅρκον δὲ τῶν θεῶν, δι’ ἐναντιότητα· ἡ μὲν γὰρ τῶν ὄντων τε καὶ ζώντων φθαρτικὴν ἔχει δύναμιν, ὅσον ἐφ’ ἑαυτῇ· οἱ δὲ τῇ τε προαιρέσει καὶ τῷ τρόπῳ διεστήκασι.» Τοσαῦτα περὶ τῆς Στυγὸς εἰπὼν, ἐπάγει· «Κωκυτὸν δὲ ποταμὸν ἀνέπλασαν ἀπὸ τοῦ κωκύειν· ὅς ἐστι Στυγὸς καὶ στυγνάσεως ἀποῤῥώξ. Τοιούτου δέ ἐστι γένους καὶ ὁ Πυριφλεγέθων· εἴρηται γὰρ ἀπὸ τοῦ πυρὶ φλέγεσθαι τοὺς τελευτῶντας, ὡς Ὅμηρός φησιν Οὐ γὰρ ἔτι σάρκας τε καὶ ὀστέα ἶνες ἔχουσιν· ἀλὰ τὰ μέν τε πυρὸς κρατερὸν μένος αἰθομένοιο δαμνᾷ, ἐπεί κε πρῶτα λίπῃ λεύκ’ ὀστέα θυμός· ψυχὴ δ’, ἠΰτ’ ὄνειρος, ἀποπταμένη πεπότηται.

10 (50) Ὑποτίθεται γὰρ τὰς ψυχὰς τοῖς εἰδώλοις τοῖς ἐν τοῖς κατόπτροις φαινομένοις ὁμοίας, καὶ τοῖς διὰ τῶν ὑδάτων συνισταμένοις, ἃ καθάπαξ ἡμῖν ἐξείκασται καὶ τὰς κινήσεις μιμεῖται, στερεμνιώδη δ’ ὑπόστασιν οὐδεμίαν ἔχει εἰς ἀντίληψιν καὶ ἁφὴν, ὅθεν αὐτὰς βροτῶν εἴδωλα καμόντων λέγει.» Οἱ πλείους δὲ ὕδωρ ἱστόρησαν τὴν Στύγα ἐπίγειον, φύσιν ἔχον ἀμύνεσθαι τοὺς κατ’ αὐτοῦ ψευδῶς ὀμόσαι τολμήσαντας. Διαβόητον μὲν τοίνυν Στυγὸς ὕδωρ κατὰ Ἀρκαδίαν οἱ ἱστορικοὶ ἀναγεγράφασιν, ὧν ἐστι καὶ Ἡρόδοτος, ὃς ἐν τῇ ἕκτῃ τὰ κατὰ Κλεομένην ἀφηγούμενος, γράφει ταῦτα· Ἐντεῦθεν δὲ ἀφικόμενος εἰς τὴν Ἀρκαδίαν, νεώτερα ἔπρησσε πράγματα, συνιστὰς τοὺς Ἀρκάδας ἐπὶ τῇ Σπάρτῃ· ἄλλους τε ὅρκους προσάγων σφι, καὶ δὴ καὶ ἐς Νώνακριν πόλιν πρόθυμος ἦν τῶν Ἀρκάδων τοὺς προεστῶτας ἀγινέων, ἐξορκοῦν τὸ Στυγὸς ὕδωρ. Καλλίμαχος δ’ ἐν τῷ περὶ Νυμφῶν συγγράμματι καὶ τὸ ἰδίωμα τοῦ ὕδατος

ἀφηγεῖται, λέγων οὕτω· Στὺξ ἐν Νωνακρίνῃ κρήνη τῆς Ἀρκαδίας, ἧς ὕδωρ ἐστὶ τὸ διακόπτον πάντα τὰ ἀγγεῖα, πλὴν τῶν κερατίνων. Clemens Alex. [75]

11 Cohort.: Καί μοι δοκεῖ τὰ ὄργια καὶ τὰ μυστήρια δεῖν ἐτυμολογεῖν, τὰ μὲν ἀπὸ τῆς ὀργῆς τῆς Δηοῦς τῆς πρὸς Δία γεγενημένης, τὰ δὲ ἀπὸ τοῦ συμβεβηκότος περὶ τὸν Διόνυσον· εἰ δὲ καὶ ἀπὸ Μυοῦντός τινος Ἀττικοῦ, ὃν ἐν κυνηγίῳ διαφθαρῆναι Ἀπολλόδωρος λέγει, οὐ φθόνος ὑμῶν δεδοξάσθαι τὰ μυστήρια ἐπιτυμβίῳ τιμῇ. Athenagoras in Deprecat. [5]

12 c. 25: Καὶ ὅτι μὲν ἄνθρωποι (οἱ θεοί), δηλοῦσι μὲν καὶ Αἰγυπτίων οἱ λογιώτατοι, οἳ θεοὺς λέγοντες αἰθέρα, γῆν, ἥλιον, σελήνην, τοὺς ἄλλους ἀνθρώπους θνητοὺς νομίζουσι καὶ ἱερὰ τοὺς τάφους αὐτῶν. Δηλοῖ δὲ καὶ Ἀπολλόδωρος ἐν τῷ περὶ Θεῶν. Clemens Al. [5]

13a Cohort. adv. Gent.: Πολλὰ κἀγαθὰ Κᾶρες σχοῖεν, οἳ καταθύουσιν αὐτῷ τοὺς κύνας. Σκύθαι δὲ τοὺς ὄνους ἱερεύοντες μὴ παυέσθων, ὡς Ἀπολλόδωρός φησι καὶ Καλλίμαχος. Arnob. [5]

13b Adv. Gent. IV.: Quis ei canes ab Caribus, quis ab Scythis asinos immolari? non principalitcr cum ceteris Apollodorus? Joh.

13c Lyd. De mens. IV, 27: Οὐδὲ γὰρ ἄν τις εὕροι κυρίαν θεοῦ (Martis) προσηγορίαν, κατὰ τὸν Ἀπολλόδωρον, ἀλλ’ οὐδὲ φύσεως γνώριμα, ἐπεὶ νῦν μὲν ἄρρενας, νῦν δὲ θηλείας τὰς ἰδέας εἰσάγουσιν οἱ φιλοσοφοῦντες· ἀλλ’ ἐκ τῶν ἀποτελεσμάτων ὀνομασίας αὐταῖς ἔθεντο, ἄρρενας μὲν θεοὺς τὰς δημιουργικὰς δυνάμεις, θηλείας δὲ τὰς ζωογόνους εἰσάγοντες. Zenobius Cent. [5]

14 V, 22: Μῆλον Ἡρακλῆς. Ἀπολλόδωρος ἐν τοῖς περὶ Θεῶν, ὅτι θύεται Ἀθήνησιν Ἡρακλεῖ ἀλεξικάκῳ ἰδιάζουσά τις θυσία. Τοῦ γὰρ βοὸς ποτὲ ἐκφυγόντος, ὃν ἔμελλον Ἡρακλεῖ προσάξαι, μῆλον λαβόντας καὶ κλάδους ὑποθέντας, τέσσαρας μὲν ἀντὶ σκελῶν, δύο δὲ ἀντὶ κεράτων, σχηματίσαι τὸν βοῦν, καὶ οὕτω τὴν θυσίαν ποιήσασθαι. Athenaeus VII: Ὁ κίθαρος . [5]

15 .. ὅτι δὲ διὰ τὸ ὄνομα ἱερὸς εἶναι νενόμισται τοῦ Ἀπόλλωνος, εἴρηκεν Ἀπολλόδωρος. Athenaeus VII: Ἀπολλόδωρος δὲ ἐν τοῖς περὶ Θεῶν τῇ Ἑκάτῃ φησὶ θύεσθαι τρίγλην διὰ τὴν τοῦ ὀνόματος οἰκειότητα· τρίμορφος γὰρ ἡ θεός.

17 Athenaeus XIII: ἀπὸ τῆς παρ’ Ἀθηναίοις καλουμένης ἑταίρας τῆς Ἀφροδίτης. Περὶ ἧς φησιν ὁ Ἀθηναῖος Ἀπολλόδωρος οὕτως· «Ἑταίραν δὲ τὴν Ἀφροδίτην τὴν τοὺς ἑταίρους καὶ τὰς ἑταίρας συνάγουσαν· τοῦτο δ’ ἐστὶ φίλας.» Harpocration: Πάνδημος Ἀφροδίτη. [5]

18 Ἀπολλόδωρος ἐν τῷ περὶ Θεῶν, πάνδημον φησὶν Ἀθήνησι κληθῆναι τὴν ἀφιδρυθεῖσαν περὶ τὴν ἀρχαίαν ἀγορὰν, διὰ τὸ ἐνταῦθα πάντα τὸν δῆμον συνάγεσθαι τὸ παλαιὸν ἐν ταῖς ἐκκλησίαις, ἃς ἐκάλουν ἀγοράς. Schol. [5]

19a Apollonii III, 541: Ἀπολλόδωρος φησὶν ἐν τῷ περὶ Θεῶν, ὅτι ἡ περιστερὰ ἱερὰ Ἀφροδίτης. Διὸ καὶ λάγνον, παρὰ γὰρ τὸ περισσῶς ἐρᾷν λέγεται. Plutarch.

19b Qu. conv. V, 3,1: Οὐ μὴν ἀλλὰ κατ’ ἰδίαν τῷ Ποσειδῶνι φαίη τις ἂν τὴν πίτυν προσήκειν, οὐχ ὡς Ἀπολλόδωρος οἴεται, παράλιον φυτὸν οὖσαν, οὐδὲ ὅτι φιλήνεμός ἐστιν, ὥσπερ ἡ θάλασσα (καὶ γὰρ τοῦτό τινες λέγουσιν), ἀλλὰ διὰ τῆς ναυπηγίας μάλιστα. Porphyr. [5]

20 De abstinentia lib. II, 55: Καὶ Λακεδαιμονίους φησὶν ὁ Ἀπολλόδωρος τῷ Ἄρει θύειν ἄνθρωπον. Schol.

21 Aristoph. Ran. 330: Μυρσίνῳ στεφάνῳ ἐστεφανοῦντο οἱ μεμυημένοι, οὐχ, ὥς τινες νομίζουσι, κισσίνῳ. Ὁ δὲ Ἀπολλόδωρος καὶ τοὺς Θεσμοθέτας φησὶ διὰ τοῦτο μυρσίνῃ στέφεσθαι, ὅτι οἰκείως ἔχει πρὸς τὸ φυτὸν ἡ θεὸς, καὶ ὅτι τοῖς χθονίοις ἀφιέρωτο. Photius Lex. [5]

22 MS.: Καλλιγένειαν. Ἀπολλόδωρος μὲν τὴν γῆν· οἱ δὲ Διὸς καὶ Δήμητρος θυγατέρα· Ἀριστοφάνης δὲ ὁ κωμικὸς τροφόν. Harpocration: Αὐτόχθονες.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

23 Ἀπολλόδωρος ἐν τοῖς περὶ Θεῶν κληθῆναί φησιν αὐτοὺς αὐτόχθονας, ἐπεὶ τὴν χθόνα, τουτέστι τὴν γῆν ἀργὴν οὖσαν πρῶτοι εἰργάσαντο. Harpocration: Κύρβεις.

24 Κύρβεις φησὶν Ἀπολλόδωρος ἐν τοῖς περὶ Θεῶν ἔχειν ἐγγεγραμμένους τοὺς νόμους. Εἶναι δὲ αὐτοὺς λίθους ὀρθοὺς ἑστῶτας· οὓς ἀπὸ μὲν τῆς στάσεως στήλας, ἀπὸ δὲ τῆς εἰς ὕψος ἀνατάσεως, διὰ τὸ κεκορυφῶσθαι, κύρβεις ἐκάλουν. Ὥσπερ καὶ κυρβασίαν τὴν ἐπὶ τῆς κεφαλῆς τιθεμένην Idem: Ὁ κάτωθεν νόμος, ... ὅτι γὰρ βουστροφηδὸν ἦσαν οἱ ἄξονες καὶ οἱ κύρβεις γεγραμμένοι, δεδήλωκεν Εὐφορίων ἐν τῷ Ἀπολλοδώρῳ. Schol. [5]

25 Aristoph. ad Nub. 447: Ἀπολλόδωρος δέ φησι πᾶσαν δημοσίαν γραφὴν καὶ νόμους κύρβιν καλεῖσθαι· ὅτι οἱ ἀρχαῖοι λίθους ἱστάντες, τὸ δόξαν ἀνέγραφον οὓς ἀπὸ μὲν τῆς στάσεως στήλας ἐκάλουν, κύρβεις δὲ ἀπὸ τῆς εἰς ὕψος ἀνατάσεως· ὕστερον δὲ, τὰ ξύλα λελευκωμένα γράφοντες ὁμοίως ἐκάλεσαν. Κύρβις οὖν ἡ περιέχουσα τὰς ἱερὰς γραφὰς στήλη. Suidas: Κύρβεις. [5]

26a Τοὺς Κύρβεις φησὶν Ἀπολλόδωρος ἐγγεγραμμένους ἔχειν τοὺς νόμους· εἶναι δὲ λίθους ὀρθοὺς ἑστῶτας, ὡς ἀπὸ μὲν τῆς στάσεως στήλας καλεῖσθαι, ἀπὸ δὲ τῆς εἰς ὕψος παρατάσεως, διὰ τὸ κεκορυφῶσθαι, κύρβεις· ὥσπερ καὶ κυρβασίαν τὴν ἐπὶ τῆς κεφαλῆς τεθειμένην. Idem mox: Κύρβεις οὖν παρὰ τὸ κεκορυφῶσθαι εἰς ὕψος ἀνατεταμένας. Ἢ ἀπὸ τῶν Κορυβάντων· ἐκείνων γὰρ εὕρημα φησὶ καὶ Ἀπολλόδωρος. Schol. [5]

26b ad Arist. Aves 1354.: Κύρβεις ... εἴρηται δὲ ἀπὸ τοῦ κεκορυφῶσθαι εἰς ὕψος, ἢ κατεσκειρῶσθαι, ὡς Ἀπολλόδωρος. Θεόφραστος δὲ ἀπὸ τῶν Κρητικῶν Κορυβάντων· τῶν γὰρ Κορυβαντικῶν ἱερῶν οἷον ἀντίγραφα αὐτοὺς εἶναι. Harpocration in Μεῖον καὶ Μειαγωγός: Ἀπολλόδωρος ἐν τοῖς περὶ Θεῶν, Οἱ φράτορες, φησὶν, ἵνα μείζονας νέμωνται μερίδας, ἐπεφώνουν ἑστῶτες, Ἱστάνειν δεῖ, μεῖον γάρ ἐστι. [5]

28 Schol. Aristophan. Acharn. 961: Χόες. ... ἑορτή τις παρ' Ἀθηναίοις ἀγομένη Ἀνθεστηριῶνος δωδεκάτῃ. Φησὶ δὲ Ἀπολλόδωρος, Ἀνθεστήρια καλεῖσθαι κοινῶς τὴν ὅλην ἑορτὴν Διονύσῳ ἀγομένην, κατὰ μέρος δὲ Πιθοιγίαν, Χόας, Χύτραν. Καὶ αὖθις. Ὅτι Ὀρέστης μετὰ τὸν φόνον εἰς Ἀθήνας ἀφικόμενος (ἦν δὲ ἑορτὴ Διονύσου Ληναίου), ὡς μὴ γένοιτο σφίσιν ὁμόσπονδος ἀπεκτονὼς τὴν μητέρα, ἐμηχανήσατο τοιόνδε τι Πανδίων· χοᾶ οἴνου τῶν δαιτυμόνων ἑκάστῳ παραστήσας, ἐξ αὐτοῦ πίνειν ἐκέλευσε μηδὲν ὑπομιγνύντας ἀλλήλοις, ὡς μήτε ἀπὸ τοῦ αὐτοῦ κρατῆρος πίοι Ὀρέστης, μήτε ἐκεῖνος ἄχθοιτο καθ' αὑτὸν πίνων μόνος· καὶ ἀπ' ἐκείνου Ἀθηναίοις ἑορτὴ ἐνομίσθη οἱ Χόες. Lege Πιθοίγια ... Χύτρα. Jo. [10]

29 Lydus De mensibus: Φέρεται δὲ καί τις μῦθος περὶ αὐτοῦ (τοῦ Διονύσου) ὡς εἴη γεγονὼς ἐκ Διὸς καὶ Γῆς, τῆς δὲ Γῆς Θεμέλης προσαγορευομένης διὰ τὸ εἰς αὐτὴν πάντα καταθεμελιοῦσθαι, ἣν κατὰ συναλλαγὴν ἑνὸς στοιχείου τοῦ ς, Σεμέλην οἱ ποιηταὶ προσηγορεύκασι. Schol. [5]

30 ad Odyss. Ψ, 198: Ἑρμῖν' ἀσκήσας: Ἑρμῆς ὁ Διὸς καὶ Μαίας τῆς Ἄτλαντος, παῖς ἔτι ὢν, ἐν ἀνθρώποις τέσσαρα μέγιστα εὕρετο· γράμματα, καὶ μουσικὴν, καὶ παλαίστραν, καὶ γεωμετρίαν. Ὅθεν καὶ τοὺς Ἕλληνας τετράγωνον αὐτὸν ἀσκῆσαι, καὶ οὕτως ἐν τοῖς γυμνασίοις ἀναθεῖναι. Τῷ δὲ ὀνειροπομπὸν αὐτὸν εἶναι, καὶ τοὺς κοιμωμένους αὐτῷ εὔχεσθαι, καὶ αὐτὸν ἀναμένειν, εἵλοντο ἐν τοῖς θαλάμοις ἔχειν αὐτὸν φύλακα τοῦ ὕπνου, ἐπινοῆσαί τε καὶ ἀσκῆσαι τοὺς τῶν κλινῶν πόδας εἰς τὴν τοῦ θεοῦ πρόσοψιν, ὅπως ἀλεξήτορας ἔχοντες ἰδέας, τὰ μὲν δείματα μὴ φοβοῖντο, προσδοκῷεν δὲ πλείστην ἐπαφροδισίαν διὰ τῶν ὀνειράτων. Ἡ δὲ ἱστορία παρὰ Ἀπολλοδώρῳ τῷ Ἀθηναίῳ. Eustath. [10]

31a ad e. l: Κυλλήνιος δὲ Ἑρμῆς, μυθικῶς μὲν ἀπὸ Κυλλήνης, ἥτις ὄρος ἐστὶν Ἀρκαδίας, σταδίων ἐννέα Ὀλυμπιακῶν, παρὰ πόδας ὀγδοήκοντα, καθὰ φασὶν ἱστορεῖν Ἀπολλόδωρον, ὀνομασθὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπὸ Κυλλήνης ἡρωΐδος τινός· περιᾴδεται δὲ διαφερόντως ἐν τοῖς περὶ τοῦτο τὸ ὄρος τιμᾶσθαι τὸν Ἑρμῆν, κἀκεῖθεν σχεῖν τὸ λεχθὲν ἐπίθετον. Eustath.

31b ex Steph. Byz. v.: Κυλλήνη, ὄρος Ἀρκαδίας, σταδίων ἐννέα παρὰ πόδας ὀγδοήκοντα, ἀπὸ Κυλλήνης Ναΐδος νύμφης. Ἐν τούτῳ δέ φασι τῷ ὄρει τοὺς κοττύφους λευκοὺς γίγνεσθαι, ἄλλοθι δὲ μηδαμῆ, καὶ φωνὰς ποικίλας προΐεσθαι· θηρεύεσθαι δὲ πρὸς τὴν σελήνην· τῆς δὲ ἡμέρας εἴ τις ἐπιχειροίη, σφόδρα δυσθηράτους εἶναι. Schol.

32 Sophoclis Oed. Colon. 57: [Τιτὰν Προμηθεὺς] Περὶ τοῦ τὸν Προμηθέα περὶ τὴν Ἀκαδημίαν καὶ τὸν Κολωνὸν ἱδρῦσθαι, Ἀπολλόδωρος γράφει οὕτω τῇ π[ερὶ θεῶν?]· «Συντιμᾶται δὲ καὶ ἐν Ἀκαδημίᾳ τῇ Ἀθηνᾷ, καθάπερ ὁ Ἥφαιστος. Καὶ ἔστιν αὐτῷ παλαιὸν ἵδρυμα, καὶ ναὸς ἐν τῷ τεμένει τῆς θεοῦ. Δείκνυται δὲ καὶ βάσις ἀρχαία κατὰ τὴν εἴσοδον, ἐν ᾗ τοῦ τε Προμηθέως ἐστὶ τύπος καὶ τοῦ Ἡφαίστου. Πεποίηται δὲ, ὡς καὶ Λυσιμαχίδης φησὶν, ὁ μὲν Προμηθεὺς πρῶτος καὶ πρεσβύτερος, ἐν δεξιᾷ σκῆπτρον ἔχων, ὁ δὲ Ἥφαιστος, νέος καὶ δεύτερος· καὶ βωμὸς ἀμφοῖν κοινός ἐστιν ἐν τῇ βάσει ἀποτετυπωμένος.» Idem ibid.

33 v. 58: [Χαλκόπους ὀδός.] Ὡς οὕτω τινὸς καλουμένου τόπου ἐν τῷ ἱερῷ, χαλκόποδος ὀδοῦ. Φησὶ δὲ Ἀπολλόδωρος δι’ αὐτοῦ κατάβασιν εἶναι εἰς Ἅιδου. Καὶ Ἴστρος δὲ μνημονεύει τοῦ χαλκοῦ ὀδοῦ καὶ Ἀστυδάμας. Καί τις τῶν χρησμοποιῶν φησι «Βοιωτοὶ δ’ ἵπποιο ποτιστείχουσι Κολωνὸν, Ἔνθα λίθος τρικάρανος ἔχει καὶ χάλκεος οὐδός.» Idem ibid.

34 v. 705: [Κύκλος λεύσσει νιν Μορίου Διός] Μόριον Δία εἶπε τὸν ἐπόπτην τῶν μορίων ἐλαιῶν. Καὶ ἔστιν ὁ λεγόμενος Μόριος Ζεὺς [περὶ Ἀκαδημίαν], ὥς φησιν Ἀπολλόδωρος· «Περὶ Ἀκαδημίαν ἐστὶν ὅ, τε τοῦ Καταιβάτου Διὸς βωμὸς, ὃν καὶ Μόριον καλοῦσι, τῶν ἐκεῖ μορίων παρὰ τὸ τῆς Ἀθηνᾶς ἱερὸν ἱδρυμένων.» Schol.

35 Apollonii I, 599: Ὄλυμποι δέ εἰσιν ἕξ· Μακεδονίας, Θεσσαλίας, ἐν ᾧ καὶ Ὀλύμπιά φησιν Ἀπολλόδωρος ἄγεσθαι, Μυσίας, Κιλικίας, Ἤλιδος, Ἀρκαδίας. Schol.

36a Theocr. II, 36: [Ἁ θεὸς ἐν τριόδοισι· τὸ χαλκίον ὡς τάχος ἄχει.] Τὸν γὰρ χαλκὸν ἐπεῖδον ἐν ταῖς ἐλλείψεσι τῆς σελήνης καὶ ἐν τοῖς κατοιχομένοις, ἐπειδὴ ἐνομίζετο καθαρὸς εἶναι καὶ ἀπελαστικὸς τῶν μιασμάτων. Διόπερ πρὸς πᾶσαν ἀφοσίωσιν καὶ ἀποκάθαρσιν αὐτῷ ἐχρῶντο· ὥς φησι καὶ Ἀπολλόδωρος ἐν τῷ περὶ Θεῶν. Idem, Aliud Scholion: Τὸ ἄχει ἀντὶ τοῦ ψόφει, κροῦε.

36b Ἐπεὶ ὁ τοῦ χαλκοῦ ἦχος οἰκεῖος τοῖς κατοιχομένοις. Φησὶν Ἀπολλόδωρος Ἀθήνησι τὸν ἱεροφάντην τῆς Κόρης ἐπικαλουμένης ἐπικρούειν τὸ λεγόμενον ἠχεῖον. Καὶ παρὰ Λάκωσι, βασιλέως ἀποθανόντος, εἰώθασι κρούειν λέβητα. Schol.

37 Theocr. Id. X, 41: Λυτιέρσης ... τοῦτον δέ φησιν Ἀπολλόδωρος ᾠδὴν εἶναι θεριστῶν, λέγων οὕτω· «Καθάπερ ἐν μὲν θρήνοις Ἰάλεμος, ἐν δὲ ὕμνοις Ἴουλος, ἀφ’ ὧν καὶ τὰς ᾠδὰς αὐτὰς καλοῦσιν, οὕτω καὶ τῶν θεριστῶν ᾠδὴ Λυτιέρσης.» Hesych.

38 : Ἀγρεὺς ὁ Πᾶν παρὰ Ἀθηναίοις, ὡς Ἀπολλόδωρος. Suidas: Ἀμφιφῶντες, πλακοῦντος εἶδος· οἵτινες ἐγίνοντο, ὅτε ὁ ἥλιος καὶ ἡ σελήνη πρωῒ ὑπὲρ γῆς φαίνονται.

39a Ἢ ὅτι ἐκόμιζον αὐτὸν, δᾳδία ἡμμένα περιπηγνύντες ἐπ’ αὐτῷ· ὥς φησιν Ἀπολλόδωρος. Suidas.

39b Ἀνάστατοι: ... ὀνομάζονται δὲ Ἀμφιφῶντες, ὡς μέν τινες, ὅτι τότε γίνονται, ὅτε ἥλιός τε καὶ σελήνη πρωῒ ὑπὲρ γῆς φαίνονται· ὡς δὲ Ἀπολλόδωρος, ὅτι κομίζουσιν αὐτοὺς δᾳδία ἡμμένα παραπηγνύντες ἐπ’ αὐτῶν. Suidas: Ταυροπόλον· τὴν Ἄρτεμιν· ὅτι ὡς ταῦρος περίεισι πάντα, ὡς Ἀπολλόδωρος.

40b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Schol. ad Aristoph. Lysistr. 447: [Νὴ τὴν ταυροπόλον] οὕτω τὴν Ἄρτεμιν ἐκάλουν. Τὴν δὲ αἰτίαν Ἀπολλόδωρος ἐν τῷ περὶ Θεῶν ἐκτίθεται. Ἔστι δὲ ὅτε καὶ τὴν Ἀθηνᾶν οὕτω καλοῦσιν, ὡς Ξενομήδης ἱστορεῖ. Macrob.

41 Sat. I, 8: Cur autem Saturnus ipse in compedibus visatur, Verrius Flaccus caussam se ignorare dicit. Verum mihi Apollodori lectio sic suggerit: «Saturnum Apollodorus alligari ait per annum laneo vinculo, et solvi ad diem sibi festum, id est mense hoc decembri, atque inde proverbium ductum, deos lancos pedes habere. Significari vero decimo mense semen in utero animatum ad vitam grandescere: quod, donec erumpat in lucem, mollibus naturae vinculis detinetur.» Idem I, 20: Aesculapium vero eundem esse atque Apollinem, non solum hinc probatur, quod ex illo natus creditur; sed quod ei et jus divinationis adjungitur.

42 Nam Apollodorus in libris, quibus titulus est περὶ θεῶν, scribit quod Aesculapius divinationibus et auguriis praesit. Nec mirum, siquidem medicinae atque divinationum consociatae sun disciplinae. Steph.

43 Byz.: Ἀκρώρεια, ἄκρον ὄρους, ἐν ᾧ οἱ οἰκοῦντες Ἀκρωρεῖται. Οὕτω δὲ παρὰ Σικυωνίοις ἐτιμᾶτο [ὁ Διόνυσος]. Ἐκαλεῖτο δὲ παρὰ μὲν Σικυωνίοις Ἀκρωρείτης, παρὰ δὲ Μεταποντίνοις Ἐρίφιος. Ἀπολλόδωρός φησιν. Idem: Ἰλισσὸς, ποταμὸς τῆς Ἀττικῆς, «ἐν ὧ τιμῶνται αἱ Μοῦσαι Ἰλισσίδες», ὡς Ἀπολλόδωρος.

44a Schol. Venet. in Eurip. Hec. 462: [ Τᾶς καλλιδίφρου Ἀθαναία ς] Οὐ μόνον γὰρ παρθένοι ὕφαινον, ὥς φησιν Ἀπολλόδωρος ἐν τῇ Περὶ θεῶν αὐλῆς (?), ἀλλὰ καὶ τέλειαι γυναῖκες, ὡς Φερεκράτης ἐν Δουλοδιδασκάλῳ Servius ad Virg.

44b Georg. I, 16, de Pane: Apollodorus sine parentibus eum sinit, quoniam universum, i. e. τὸ πᾶν, huic deo sit attributum. Cornua, quae solis lunaeque designantur; pellis maculis distincta, quae variam designat imaginem siderum. Inferior pars hirsuta, ut situs terrae. Cum fistula est, quoniam flatus ventorum oriuntur. Metus vero ad repentinas fugas Panicus, pro subitaria aeris commotione. ΧΡΟΝΙΚΑ sive ΧΡΟΝΙΚΗ ΣΥΝΤΑΞΙΣ.

45a Scymnus Chius v. 16 sqq.: Ἔστι δ’ ἃ γράφω τοιαῦτα. Τοῖς ἐν Περγάμῳ βασιλεῦσιν, ὧν ἡ δόξα καὶ τεθνηκότων παρὰ πᾶσιν ἡμῖν ζῶσα διὰ παντὸς μένει, τῶν Ἀττικῶν τις γνησίων τε φιλολόγων, γεγονὼς ἀκουστὴς Διογένους τοῦ Στωϊκοῦ, συνεσχολακὼς δὲ πολὺν Ἀριστάρχῳ χρόνον, συνετάξατ’ ἀπὸ τῆς Τρωϊκῆς ἁλώσεως χρονογραφίαν στοιχοῦσαν ἄχρι τοῦ νῦν βίου. Ἔτη δὲ τετταράκοντα πρὸς τοῖς χιλίοις ὡρισμένως ἐξέθετο, καταριθμούμενος πόλεων ἁλώσεις, ἐκτοπισμοὺς στρατοπέδων, μεταναστάσεις ἐθνῶν, στρατείας βαρβάρων, ἐφόδους, περαιώσεις τε ναυτικῶν στόλων, θέσεις ἀγώνων, συμμαχίας, σπονδὰς, μάχας, πράξεις βασιλέων, ἐπιφανῶν ἀνδρῶν βίους, φυγὰς, στρατείας, καταλύσεις τυραννίδων· πάντων ἐπιτομὴν τῶν χύδην εἰρημένων. Μέτρῳ δὲ ταύτην ἐκτιθέναι προείλετο τῷ κωμικῷ δὲ, τῆς σαφηνείας χάριν· εὐμνημόνευτον ἐσομένην οὕτως ὁρῶν. ... Ἐκεῖνος οὖν κεφάλαια συναθροίσας χρόνων, εἰς βασιλέως ἀπέθετο Φιλαδέλφου χάριν· ἃ καὶ διὰ πάσης γέγονε τῆς οἰκουμένης ἀθάνατον ἀπονέμοντα δόξαν Ἀττάλῳ τῆς πραγματείας ἐπιγραφὴν εἰληφότι. LIBER I.

45b Steph. Byz.: Δύμη, πόλις Ἀχαΐας ... Καὶ Δύμη ἡ χώρα πάλαι ἐκαλεῖτο, ἡ δὲ πόλις Στρατός. Ὕστερον δὲ καὶ ἡ πόλις καὶ ἡ χώρα Δύμη ἐκλήθησαν. Λέγεται καὶ πληθυντικῶς, ὡς Ἀπολλόδωρος· «Τούτων ἀπέχουσα σταδίους ρκʹ, ἐσχάτη κεῖται πρὸς δύσιν Δῦμαι.» Ὁ πολίτης Δυμαῖος ... Ἀπολλόδωρος ἢ ὁ τὰ τούτου ἐπιτεμνόμενος· «Τὴν δὲ χώραν ἔχουσι Δυμαῖοι» ... Καὶ Ἀπολλόδωρος ἐν Χρονικῶν αʹ· «Πόλεμος ἐνέστη τοῖς τε Δυμαίοις.» Steph.

46

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Byz.: Ἀσσώριον, πόλις Σικελίας. Ταύτην τρισυλλάβως Ἀσσωρὸν καλεῖ Ἀπολλόδωρος ἐν πρώτῃ Χρονικῶν. Idem: Ἑλωρὸς, πόλις Σικελίας, ἀπὸ Ἑλώρου ποταμοῦ τοῦ κατὰ Πάχυνον, ὃς λέγεται τιθασσοὺς ἰχθῦς ἔχειν ἀπὸ χειρὸς ἐσθίοντας, ὡς Ἀπολλόδωρος ἐν Χρονικῶν πρώτῃ.

48 Idem: Μυοῦς, πόλις Ἰωνίας, ὡς Φίλων καὶ Ἀπολλόδωρος ἐν α′ Χρονικῶν. Idem: Χήσιον, Ἰωνίας πολίχνιον, ὡς Ἀπολλόδωρος ἐν Χρονικῶν πρώτῳ.

t50-55 LIBER II. Idem: Μεναί, πόλις Σικελίας ἐγγὺς Παλίκων.

50 Ἀπολλόδωρος ἐν β′ Χρονικῶν. Idem: Νόαι, .

51 .. πόλις Σικελίας. Ἀπολλόδωρος δευτέρῳ Χρονικῶν. Idem: Παρπάρων, χωρίον ἐν Ἀσίᾳ Αἰολικὸν, ἔνθα ἱστοροῦσι Θουκυδίδην ἀποθανεῖν, ὡς Ἀπολλόδωρος ἐν Χρονικῶν δευτέρῳ.

53 Idem: Ὕκκαρον, φρούριον Σικελίας, ὡς Φίλιστος Σικελικῶν πρώτῳ. Ἀπολλόδωρος δ’ ἐν δευτέρῳ Χρονικῶν πόλιν λέγει αὐτὴν τὰ Ὕκκαρα. Idem: Φαβία, πόλις Κελτογαλατῶν, κτίσμα Φαβίου στρατηγοῦ Ῥωμαίων.

54 Ἀπολλόδωρος ἐν δευτέρῳ Χρονικῶν. Idem: Χαιρώνεια, .

55 .. τὸ κτητικὸν Χαιρωνικὸς καὶ Χαιρωνική. Ἀπολλόδωρος ἐν Χρονικῶν δευτέρῳ· «Κατὰ τὴν μάχην, ὥς φασι, τὴν Χαιρωνικήν.» LIBER III.

56 Idem: Ἀμαξιτὸς, πολίχνιον τῆς Τρωάδος. ... Τὸ ἐθνικὸν Ἀμαξιτεύς. Ἀπολλόδωρος δὲ ἐν Χρονικῶν τρίτῃ Ἀμαξιτηνούς φησιν. Idem: Λίγγος, φρούριον Κασσανδρέων.

57 Ἀπολλόδωρος ἐν Χρονικῶν τρίτῳ, ὃς καὶ τὸ ἐθνικὸν Λιγγαῖος. Idem: Ληναῖος, ἀγὼν Διονύσου ἐν ἀγροῖς ἀπὸ τῆς ληνοῦ.

58 Ἀπολλόδωρος ἐν τρίτῳ Χρονικῶν. Idem: Ζάκανθα, πόλις Ἰβηρίας, ἣν εἶλεν Ἀννίβας, ὡς Ἀπολλόδωρος ἐν Χρονικῶν τρίτῃ.

58b Idem: Μέσμα, πόλις Ἰταλίας. Ἀπ. ἐν τρίτῳ Χρονικῶν. LIBER IV.

59 Idem: Ἀερία, ἡ Αἴγυπτος ... Ἔστι καὶ Κελτικὴ πόλις Ἀερία, ὡς Ἀπολλόδωρος ἐν Χρονικῶν τετάρτῳ. Idem: Αἰδούσιοι, σύμμαχοι Ῥωμαίων πρὸς τῇ Κελτικῇ Γαλατίᾳ.

60 Ἀπολλόδωρος ἐν Χρονικῶν δ′. Idem: Ἀμήστρατος, πόλις Σικελίας.

61 Ἀπολλόδωρος τετάρτῃ Χρονικῶν. Idem: Ἀρόερνοι, ἔθνος μαχιμώτατον τῶν πρὸς τῇ Κελτικῇ Γαλατῶν.

62 Ἀπολλόδωρος τετάρτῃ Χρονικῶν· «Κελτῶν Ἀροέρνους.» Idem: Δῶρος, πόλις Φοινίκης .

63 .. Ἀπολλόδωρος δὲ Δῶρον καλεῖ ἐν Χρονικῶν δ′. «Εἰς Δῶρον οὖσαν ἐπιθαλάττιον πόλιν.» Idem: Καινοὶ, ἔθνος Θρᾴκιον.

64 Ἀπολλόδωρος ἐν Χρονικῶν τετάρτῳ. Steph.

65 : Χαλκητόριον, πόλις Κρήτης. Ὁ πολίτης Χαλκητορεύς. Ἀπολλόδωρος τετάρτῳ Χρονικῶν· «Μεθ’ οὗ Χαρίδημος ἦν φυγὰς Χαλκητορεύς.» Idem: Πάρθος, πόλις Ἰλλυρική.

66 Ἀπολλόδωρος ἐν Χρονικοῖς. Euseb.

67a Armen.: Atque primo anno e Rubro mari emersisse ait intra eosdem terminos Babyloniorum immanem quandam belluam, cui nomen Oanni, quod et Apollodorus in historia narrat, eamque toto quidem corpore piscem fuisse, verum sub capite piscis aliud caput appositum, et in cauda pedes ad instar hominis, et loquelam humanae similem: ejusque imaginem ad hunc usque diem delineatam superesse. Hanc belluam, inquit, interdiu cum hominibus versari solitam, nullumque cibum capere: docuisse homines literas et varia genera artium, descriptiones urbium, templorum structuras, legum lationem, finium regundorum doctrinam: semina praeterea et fructuum collectionem demonstravisse, atque omnia prorsus, quae

mundanae societati conducunt hominibus tradidisse: ita ut ex eo tempore nemo praeterea aliquid invenerit. Tum sub solis occasum eam belluam Oannem denuo mergi solitam mari, noctuque in immenso pelago collocari; atque ita ancipitem quandam vitam degere. Syncelli Chronograph: Ἐν τῇ Βαβυλῶνι πολὺ πλῆθος ἀνθρώπων γενέσθαι ἀλλοεθνῶν κατοικησάντων τὴν Χαλδαίαν· ζῆν δὲ αὐτοὺς ἀτάκτως ὥσπερ τὰ θηρία. [20]

67b Ἐν δὲ τῷ πρώτῳ ἐνιαυτῷ φανῆναι ἐκ τῆς ἐρυθρᾶς θαλάσσης κατὰ τὸν ὁμοροῦντα τόπον τῇ Βαβυλωνίᾳ ζῶον ἄφρενον ὀνόματι Ὠάννην, καθὼς καὶ Ἀπολλόδωρος ἱστόρησε, τὸ μὲν ὅλον σῶμα ἔχον ἰχθύος, ὑπὸ δὲ τὴν κεφαλὴν παραπεφυκυῖαν ἄλλην κεφαλὴν ὑποκάτω τῆς τοῦ ἰχθύος κεφαλῆς, καὶ πόδα ὁμοίως ἀνθρώπου, παραπεφυκότας δὲ ἐκ τῆς οὐρᾶς τοῦ ἰχθύος. Idem: οὔτε ἄλλῃ τινὶ δαιμονιώδει αὐτῶν ἱστορίᾳ. [10]

67c Σχεδὸν γὰρ ἀπὸ ταύτης τῆς συγγραφῆς καθάπερ ἔκ τινος πηγῆς βορβορώδους καὶ τῶν παραπλησίων αὐτῇ πᾶσα μυθώδης Ἑλληνικὴ καὶ Μανιχαϊκὴ κακοδοξία ἀνέβλυσε. Καὶ τῶν καθ᾽ ἡμᾶς δὲ αἱρέσεων οὐκ ὀλίγαι τὰς ἀρχὰς ἐκ τοιούτων ἀπατηλῶν ἐσχήκασι τὰς ἀφορμάς. Οὗ χάριν προήχθημεν ἀσφαλείας ἕνεκα τῶν τὰ τοιαῦτα μυθάρια ὡς καίρια λογιζομένων τὰς προγραφείσας μαρτυρίας Ἀλεξάνδρου καὶ τῶν προειρημένων δύο μοναζόντων Ἀννιανοῦ τε καὶ Πανοδώρου τῶν ὁμοχρόνων ἐπὶ Θεοφίλου τοῦ εἰκοστοῦ δευτέρου ἀρχιεπισκόπου Ἀλεξανδρείας ἀκμασάντων καὶ πολλὰ χρήσιμα κεφάλαια ἱστορικὰ πεπονηκότων παραθέσθαι. Εἰ καὶ ἐν τῷδε τῷ μέρει δοκοῦντές τι κατορθοῦν οὐδὲν τῇ ἀληθείᾳ κέρδος προσήγαγον, δεξάμενοι τὰς Ἀλεξάνδρου τοῦ προῤῥηθέντος περὶ τῆς τῶν Χαλδαίων βασιλέων δόξας, ὅτι πρὸ τοῦ κατακλυσμοῦ ἐν Βαβυλῶνι ἐβασίλευσαν, καὶ τὸν τῶν ἐτῶν μυριαδισμὸν ἀλληγορησάντων, πρὸς τούτοις δὲ καὶ Ἀβυδηνοῦ καὶ Ἀπολλοδώρου περὶ τῶν αὐτῶν, καὶ ἔτι Μανεθῶ περὶ τῆς Αἰγυπτίων δυναστείας πρὸ τοῦ κατακλυσμοῦ παρόμοια μυθολογοῦντας, ὧν τὰς χρήσεις, Ἀβυδηνοῦ λέγω καὶ Ἀπολλοδώρου καὶ Μανεθῶ, προστεθῆναι ταύτης ἡγοῦμαι τῆς προθέσεως, ὡς ἂν καὶ ἐξ ἀλλήλων αὐτοῖς τὸ ἀσύμφωνον συναχθῇ καὶ ὑφ᾽ ἑαυτοῦ τὸ κακὸν ἀνατραπῇ, καὶ οὕτω τοῖς μετὰ τὸν κατακλυσμὸν ἔτεσι τὰ κατὰ μέρος ὅση δύναμις ἐπισημήνασθαι. Idem: Εὐσέβιος καὶ Ἰώσηππος καὶ ἄλλοι περὶ τῆς τῶν Χαλδαίων βασιλείας ἱστορικοὶ φαίνονται λέγοντες ὅτι πρὸ τοῦ κατακλυσμοῦ ἐβασίλευον ἑπόμενοι Ἀλεξάνδρῳ τῷ Πολυΐστορι καὶ Ἀβυδηνῷ καὶ Ἀπολλοδώρῳ, μηδεμίαν ἔχοντες ἀφορμὴν ἐκ τῶν θειῶν γραφῶν. [5]

67e Idem: Πρὸς τούτοις καὶ Ἀπολλόδωρος ὁμοίως τούτοις τερατευόμενος οὕτω λέγει· Ταῦτα μὲν ὁ Βήρωσσος ἱστόρησε, πρῶτον γενέσθαι βασιλέα Ἄλωρον ἐκ Βαβυλῶνος Χαλδαῖον· βασιλεῦσαι δὲ σάρους δέκα, καὶ καθεξῆς Ἀλάπαρον καὶ Ἀμήλωνα τὸν ἐκ Παντιβίβλων· εἶτα Ἀμμένωνα τὸν Χαλδαῖον, ἐφ᾽ οὗ φησι φανῆναι τὸν μυσαρὸν Ὠάννην, τὸν Ἀννήδωτον, ἐκ τῆς Ἐρυθρᾶς· ὅπερ Ἀλέξανδρος προλαβὼν εἴρηκε φανῆναι τῷ πρώτῳ ἔτει· οὗτος δὲ μετὰ σάρους τεσσαράκοντα, ὁ δὲ Ἀβυδηνὸς τὸν δεύτερον Ἀννήδωτον μετὰ σάρους ἕξ· εἶτα Μεγαλάρον ἐκ Παντιβίβλων πόλεως, βασιλεῦσαι δ᾽ αὐτὸν σάρους ὀκτοκαίδεκα· καὶ μετὰ τοῦτον Δάωνον ποιμένα ἐκ Παντιβίβλων βασιλεῦσαι σάρους δέκα. Κατὰ τοῦτον πάλιν φησὶ φανῆναι ἐκ τῆς Ἐρυθρᾶς Ἀννήδωτον τέταρτον τὴν αὐτὴν τοῖς ἄνω ἔχοντα διάθεσιν καὶ τὴν ἰχθύος πρὸς ἀνθρώπους μῖξιν. Εἶτα ἄρξαι Εὐεδώραχον ἐκ Παντιβίβλων, καὶ βασιλεῦσαι σάρους ὀκτωκαίδεκα. Ἐπὶ τούτου φησὶν ἄλλον φανῆναι ἐκ τῆς ἐρυθρᾶς θαλάσσης ὅμοιον κατὰ τὴν ἰχθύος πρὸς ἄνθρωπον μῖξιν, ᾧ ὄνομα Ὠδάκων. Τούτους δέ φησι πάντας τὰ ὑπὸ Ὠάννου κεφαλαιωδῶς ῥηθέντα κατὰ μέρος ἐξηγήσασθαι. Περὶ τούτου Ἀβυδηνὸς οὐδὲν εἶπεν. Εἶτα ἄρξαι Ἀμεμψινὸν Χαλδαῖον ἐκ Λαράγχων· βασιλεῦσαι δὲ αὐτὸν ὄγδοον σάρους δέκα. Εἶτα ἄρξαι Ὠτιάρτην Χαλδαῖον ἐκ Λαράγχων, βασιλεῦσαι δὲ σάρους η′. Ὠτιάρτου δὲ τελευτήσαντος τὸν υἱὸν αὐτοῦ Ξίσουθρον βασιλεῦσαι σάρους ὀκτωκαίδεκα. Ἐπὶ τούτου δὲ τὸν μέγαν κατακλυσμόν φησι γεγενῆσθαι. Ὡς γίνεσθαι ὁμοῦ πάντας βασιλεῖς δέκα, σάρους δὲ ἑκατὸν εἴκοσι. Euseb. [30]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

67f Armen.: Haec quidem Berosus in libro primo narravit, secundo autem reges singillatim recensuit. Ut ipse inquit, Narbonassarus erat eo tempore rex. Et regum quidem nomina diligenter acervat; nullum tamen eorum opus peculiariter recitat, fortasse quia nil memorandum esse arbitratur. Ex eo igitur regum tantummodo seriem depromere licet. Hac vero ratione narrationem exorditur, ut Apollodorus ait: nempe primum exstitisse regem Alorum, ex urbe Babylone Chalaaeum: hunc saris decem regno potitum. Porro is sarum ex annis ter mille ac sexcentis conflat. Addit etiam nescio quem nerum et sosum: nerum ait sexcentis annis constare, sosum annis sexaginta. Sic ill de veterum more annos supputat. His dictis pergit porro, regesque Assyriorum singillatim atque ex ordine enumerat; decem videlicet ab Aloro primo rege usque ad Xisuthrum, sub quo magnum illud primumque diluvium contigisse ait, quod Moses quoque commemorat. Jam summam temporum, quibus hi reges imperitaverunt, ait esse saros centum viginti, nempe quadraginta tres annorum myriades annosque bis mille. Tum et disertis verbis ita scribit: Defuncto, inquit, Aloro, regnavit ejus filius Alaparus saris tribus. Post Alaparum Almelon ex urbe Pantibilis Chaldaeus saris tredecim. Almeloni successit Ammenon, item ex Pantibiblis Chaldaeus, saris duodecim. Hujus aetate bellua quaedam, cui nomen Idotioni, e Rubro mari emersit, forma ex homine et pisce mixta. Hinc Amegalarus Pantibiblicus octodecim saris regnavit. Deinde pastor Danonus Pantibilicus, qui et ipse saris decem regno potitus est. Hoc imperante, rursus e Rubro mari emerserunt eadem hominis itemque piscis figura monstra quattuor. Postea regnavit Edoranchus Pantibiblicus saris octodecim. Eo tempore item apparuit aliud quiddam simile piscis et hominis, cui nomen Odaconi. Hos, inquit, omnes ea, quae ab Oanne summatim dicta erant, accurate exposuisse. Exin imperavisse Amemphsinum e Lancharis Chaldaeum saris octo. Defuncto denique Otiarte, filium ejus Xisuthrum rexisse imperium saris octodecim: sub eoque evenisse magnum diluvium. Chron. [40]

68 Paschale: Αὐτὸν Νῖνον τὸν Νεβρώθ οἱ Ἀσσύριοι προσηγόρευσαν· «Οὗτος διδάσκει Ἀσσυρίους σέβειν τὸ πῦρ.» Schol.

69 Aristoph. Aves 1021,: Ἀπολλόδωρος δὲ ταῦτά φησιν ἐγγεγράφθαι ἐπὶ τῷ τάφῳ αὐτοῦ Ἀσσυρίοις γράμμασι· Σαρδανάπαλος, Ἀνακυνδαράξου παῖς, Ταρσόν τε καὶ Ἀγχίαλον ἔδειμεν ἐν ἡμέρᾳ μιᾷ. Ἔσθιε, πῖνε, ὄχευε· ὡς τἄλλα οὐδενός ἐστιν ἄξια. Syncell. [5]

70 : Ἀπολλόδωρος χρονικὸς ἄλλην Αἰγυπτίων τῶν Θηβαίων λεγομένων βασιλείαν ἀνεγράψατο βασιλέων λη′, ἐτῶν ͵αος. Ἥτις ἤρξατο μὲν τῷ ͵βϡ ἔτει τοῦ κόσμου, ἔληξε δὲ εἰς τὸ ͵γμε (γϡος′ m.) ἔτος τοῦ κόσμου, ὧν τὴν γνῶσιν, φησὶν, ὁ Ἐρατοσθένης λαβὼν Αἰγυπτιακοῖς ὑπομνήμασι καὶ ὀνόμασι κατὰ πρόσταξιν βασιλικὴν τῇ Ἑλλάδι φωνῇ παρέφρασεν οὕτως· Θηβαίων βασιλέων τῶν μετὰ ͵αρκδ (ρκδ′ m.) ἔτη τῆς διασπορᾶς λη′ βασιλειῶν. Α′ ἐβασίλευε Μήνης Θεινίτης Θηβαῖος, ὃ ἑρμηνεύεται Αἰώνιος· ἐβασίλευεν ἔτη ξβ′· τοῦ δὲ κόσμου ἦν ἔτος, ͵βϡ. Θηβαίων δεύτερος ἐβασίλευσεν Ἀθώθης υἱὸς Μήνεως ἔτη νθ′. Οὗτος ἑρμηνεύεται Ἑρμογένης. Ἔτος τοῦ κόσμου, ͵βϡξβ′. Θηβαίων Αἰγυπτίων τρίτος ἐβασίλευσεν Ἀθώθης ὁμώνυμος ἔτη λβ′· τοῦ δὲ κόσμου ἦν ἔτος ͵γκα′. Θηβαίων ἐβασίλευσε δ′ Διαβιῆς υἱὸς Ἀθώθεως ἔτη ιθ· οὗτος ἑρμηνεύεται φιλέταιρος· τοῦ δὲ κόσμου ἦν ἔτος ͵γνγ′. Θηβαίων ἐβασίλευσε ε′ Πεμφῶς υἱὸς Ἀθώθους, ὅ ἐστι Ἡρακλείδης, ἔτη ιη′· τοῦ δὲ κόσμου ἦν ἔτος ͵γοβ′. Θηβαίων Αἰγυπτίων ἐβασίλευσεν ς′ Τοιγαράμαχος Μομχειρὶ Μεμφίτης ἔτη οθ· οὗτος ἑρμηνεύεται τῆς ἀνδρὸς περισσομελής· τοῦ δὲ κόσμου ἦν ἔτος ͵γϙ′. Θηβαίων Αἰγυπτίων ἐβασίλευσεν ζ′ Στοῖχος υἱὸς αὐτοῦ, ὅ ἐστιν Ἄρης ἀναίσθητος, ἔτη ς′· τοῦ δὲ κόσμου ἦν ἔτος ͵γρξθ′. Θηβαίων Αἰγυπτίων ἐβασίλευσεν ὄγδοος Γοσορμίης, ὅ ἐστιν Ἐτησιπαντὸς, ἔτη λ′· τοῦ δὲ κόσμου ἦν ἔτος ͵γροε′. Θηβαίων Αἰγυπτίων ἐβασίλευσεν θ′ Μάρης υἱὸς αὐτοῦ, ὅ ἐστιν Ἡλιόδωρος, ἔτη κς· τοῦ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κόσμου ἦν ἔτος ͵ γσε′. Θηβαίων Αἰγυπτίων ι′ ἐβασίλευσεν Ἀνωϋφὶς, ὅ ἐστιν ἐπίκωμος, ἔτη κ′, τοῦ δὲ κόσμου ἦν ἔτος, γσλα′. Θηβαίων Αἰγυπτίων ια′ ἐβασίλευσε Σίριος, ὅ ἐστιν υἱὸς κόρης, ὡς δὲ ἕτεροι ἀβάσκαντος, ἔτη ιη′· τοῦ δὲ κόσμου ἦν ἔτος, ͵ γσνα′. Θηβαίων Αἰγυπτίων ιβ′ ἐβασίλευσε Χνοῦβος Γνευρὸς, ὅ ἐστι Χρύσης Χρύσου υἱὸς, ἔτη κβ′· τοῦ δὲ κόσμου ἦν ἔτος, ͵ γσξθ′. Θηβαίων Αἰγυπτίων ιγ′ ἐβασίλευσε Ῥαυῶσις, ὅ ἐστιν Ἀρχικράτωρ, ἔτη ιγ′· τοῦ δὲ κόσμου ἦν ἔτος ͵ γσϙα′.

70 (50) Θηβαίων Αἰγυπτίων ιδ′ ἐβασίλευσε Βιΰρης ἔτη ι′· τοῦ δὲ κόσμου ἦν ἔτος, ͵ γτδ′. Θηβαίων Αἰγυπτίων ιε′ ἐβασίλευσε Σαῶφις, κωμαστὴς, κατὰ δὲ ἐνίους χρηματιστὴς, ἔτη κθ′· τοῦ δὲ κόσμου ἦν ἔτος, ͵ γτιδ′. Θηβαίων ις′ ἐβασίλευσε Σαῶφις β′ ἔτη κζ′· τοῦ δὲ κόσμου ἦν ἔτος, ͵ γτμγ′. Θηβαίων ιζ′ ἐβασίλευσε Μοσχερῆς Ἡλιόδοτος ἔτη λα′· τοῦ δὲ κόσμου ἦν ἔτος, γτο′. Θηβαίων ιη′ ἐβασίλευσε Μοσθῆς ἔτη λγ′· τοῦ δὲ κόσμου ἦν ἔτος, ͵ γυα′. Θηβαίων ιθ′ ἐβασίλευσε Παμμῆς Ἀρχονδὴς ἔτη λε′· τοῦ δὲ κόσμου ἦν ἔτος, ͵ γλυδ′. Θηβαίων κ′ ἐβασίλευσε Ἀπάππους μέγιστος· Οὗτος, ὥς φασι, παρὰ ὥραν μίαν ἐβασίλευσεν ἔτη ρ′· τοῦ δὲ κόσμου ἦν ἔτος, ͵ γφξθ′. Θηβαίων κα′ ἐβασίλευσεν Ἐχεσκοσοκάρας ἔτος α′, τοῦ δὲ κόσμου ἦν ἔτος, γφξθ′. Θηβαίων κβ′ ἐβασίλευσε Νίτωκρις γυνὴ ἀντὶ τοῦ ἀνδρὸς, ὅ ἐστιν Ἀθηνᾶ νικηφόρος, ἔτη ς′· τοῦ δὲ κόσμου ἦν ἔτος, ͵ γφο′. Θηβαίων κγ′ ἐβασίλευσε Μυρταῖος Ἀμμωνόδοτος ἔτη κβ′. Τοῦ δὲ κόσμου ἦν ἔτος, ͵ γφϙη′. Θηβαίων κδ′ ἐβασίλευσεν Οὐοσιμάρης κραταιὸς, ὅ ἐστιν ἥλιος· ἔτη ιβ′. τοῦ δὲ κόσμου ἦν ἔτος, γφϙη′. Θηβαίων κε′ ἐβασίλευσε Θίνιλλος, ὅ ἐστιν αὐξήσας τὸ πάτριον κράτος, ἔτη η′· τοῦ δὲ κόσμου ἦν ἔτος ͵ γχι′. Θηβαίων κς′ ἐβασίλευσε Σεμφρουκράτες, ὅ ἐστιν Ἡρακλῆς Ἁρποκράτης, ἔτη ιη′· τοῦ δὲ κόσμου ἦν ἔτος γχιη′. Θηβαίων κζ′ ἐβασίλευσε Χουθὴρ Ταῦρος τύραννος ἔτη ζ′· τοῦ δὲ κόσμου ἦν ἔτος, ͵ γχλς′. Θηβαίων κη′ ἐβασίλευσε Μευρὴς Φιλοσκόρος ἔτη ιβ′. Τοῦ δὲ κόσμου ἦν ἔτος, ͵ γχμγ′. Θηβαίων κθ′ ἐβασίλευσε Χωμαεφθὰ κόσμος Φιλήφαιστος ἔτη ια′· τοῦ δὲ κόσμου ἦν ἔτος, γχνε′. Θηβαίων λ′ ἐβασίλευσε Σοικουνιόσοχος τύραννος ἔτη ξ′· τοῦ δὲ κόσμου ἦν ἔτος, ͵ γχξς′. Θηβαίων λα′ ἐβασίλευσε Πετεαθυρῆς ἔτη ις′. Τοῦ δὲ κόσμου ἦν ἔτος, ͵ γψξς′. Θηβαίων λβ′ ἐβασίλευσε Σταμμενέμης β′ ἔτη κγ′. Τοῦ δὲ κόσμου ἦν ἔτος, ͵ γψξη′. *************** Θηβαίων λδ′ ἐβασίλευσε Σιστοσιχερμῆς Ἡρακλῆς κραταιὸς ἔτη νε′· τοῦ δὲ κόσμου ἦν ἔτος, ͵ γψϙα′. Θηβαίων λε′ ἐβασίλευσε Μάρις ἔτη μγ′· τοῦ δὲ κόσμου ἦν ἔτος, γωμς′. Θηβαίων λς′ ἐβασίλευσε Σιφόας, ὁ καὶ Ἑρμῆς, υἱὸς Ἡφαίστου, ἔτη ε′· τοῦ δὲ κόσμου ἦν ἔτος, ͵ γωπθ′.

70 (100) Θηβαίων λζ′ ἐβασίλευσε Φρουερῶ, ἤτοι Νεῖλος, ἔτη ε′· τοῦ δὲ κόσμου ἦν ἔτος ͵ γωπθ′. Θηβαίων λη′ ἐβασίλευσεν Ἀμουθαρταῖος ἔτη ξγ′· τοῦ δὲ κόσμου, ἦν ἔτος ͵ γϡιγ′. Ἡ τῶν λη′ βασιλέων τῶν κατ’ Αἴγυπτον λεγομένων Θηβαίων, ὧν τὰ ὀνόματα Ἐρατοσθένης λαβὼν ἐκ τῶν ἐν Διοσπόλει ἱερογραμματέων παρέφρασεν ἐξ Αἰγυπτίας εἰς Ἑλλάδα φωνὴν, ἐνταῦθα ἔληξε ἀρχὴ, ἀρξαμένη μὲν ἀπὸ τοῦ ͵ βϡ′ κοσμικοῦ ἔτους, ἔτεσιν ρκδ′ μετὰ τὴν σύγχυσιν τῶν γλωσσῶν, λήξασα δὲ εἰς τοῦτο τῷ ͵ γϡοε′ τοῦ κόσμου ἔτει. Τῶν δὲ τούτοις ἐφεξῆς ἄλλων νγ′ Θηβαίων βασιλέων ὑπὸ τοῦ αὐτοῦ Ἀπολλλοδώρου παραδεδομένων τὰς προσηγορίας περιττὸν ἡγούμεθα ἐνταῦθα, ὡς μηδὲν συμβαλλομένας ἡμῖν, παραθέσθαι, ἐπεὶ μηδὲ αἱ πρὸ αὐτῶν. Syncell.

71 : Τῷ ͵ γσλθ′ ἔτι τοῦ κόσμου, ος′ τοῦ Ναχὼρ ἡ Σικυωνίων βασιλεία ἤρξατο ἀπὸ πρώτου βασιλέως Αἰγιαλέως, ἕως κς′ βασιλέως Ζευξίππου, ἐπὶ ἔτη διαρκέσασα ϡξζ′. Μεθ’ οὓς ἄρχοντες ἱερεῖς ς′ ἔτη λγ′. Ὁμοῦ τὰ πάντα τῆς Σικυωνίων ἀρχῆς ἔτη ͵ α, ὡς ἀπολλόδωρος καὶ ἕτεροι, ἐν οἷς καὶ Εὐσέβιος, ἔγραψαν. Clemens Alex.

72 Strom. I, c. 21: εἴ γε τῆς Περσέως βασιλείας τῷ τριακοστῷ δευτέρῳ ἔτει ἐκθεοῦται (ὁ Διόνυσος), ὥς φησιν Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς. Ἀπὸ δὲ Διονύσου ἐπὶ Ἡρακλέα καὶ τοὺς περὶ Ἰάσονα ἀριστεῖς τοὺς ἐν τῇ Ἀργοῖ πλεύσαντας συνάγεται ἔτη ἑξήκοντα τρία. ... Ἀπὸ δὲ τῆς Ἡρακλέους ἐν Ἄργει βασιλείας ἐπὶ τὴν Ἡρακλέους αὐτοῦ καὶ Ἀσκληπιοῦ ἀποθέωσιν ἔτη

συνάγεται τριάκοντα (vel. τρ. ὀκτὼ) κατὰ τὸν χρονογράφον Ἀπολλόδωρον. Ἐντεῦθεν δὲ ἐπὶ τὴν Κάστορος καὶ Πολυδεύκους ἀποθέωσιν ἔτη πεντηκοντατρία. Ἐνταῦθά που καὶ ἡ Ἰλίου κατάληψις. Diodor.

73a I, 5: Ἀπὸ δὲ τῶν Τρωϊκῶν, ἀκολούθως Ἀπολλοδώρῳ τῷ Ἀθηναίῳ, τίθεμεν ὀγδοήκοντα ἔτη πρὸς τὴν κάθοδον τῶν Ἡρακλειδῶν· ἀπὸ δὲ ταύτης ἐπὶ τὴν πρώτην Ὀλυμπιάδα δυσὶ λείποντα τῶν τριακοσίων καὶ τριάκοντα, συλλογιζόμενοι τοὺς χρόνους ἀπὸ τῶν ἐν Λακεδαίμονι βασιλευσάντων. Euseb.

73b Armen.: A capto ilio usque ad Heraclidarum in Peloponnesum descensum qit Apollodorus elapsos esse annos LXXX: tum a descensu ad Ioniam urbibus frequentatam annos LX: exinde ad Lycurgum annos CLIX: summam autem temporis a capto Ilio ad primam Olympiadem annorum esse CCCCVII. Eratosthenes ap.

73c Clem. Alex.: Ἐρατοσθένης τοὺς χρόνους ὧδε ἀναγράφει· Ἀπὸ μὲν Τροίας ἁλώσεως ἐπὶ Ἡρακλειδῶν κάθοδον, ἔτη ὀγδοήκοντα· ἐντεῦθεν δὲ ἐπὶ τὴν Ἰωνίας κτίσιν, ἔτη ἑξήκοντα· τὰ δὲ τούτοις ἑξῆς, ἐπὶ μὲν τὴν ἐπιτροπίαν τὴν Λυκούργου, ἔτη ἑκατὸν πεντηκονταεννέα, ἐπὶ δὲ προηγούμενον ἔτος τῶν πρώτων Ὀλυμπίων ἔτη ἑκατὸν ὀκτώ. Tatian.

74a Ad Graec. 49: Οἱ δὲ περὶ Ἀπολλόδωρον (φασὶ τὸν Ὅμηρον ἠκμακέναι) μετὰ τὴν Ἰωνικὴν ἀποικίαν ἔτεσιν ἑκατὸν, ὅπερ γένοιτο ἂν ὕστερον τῶν Ἰλιακῶν διακοσίων τεσσαράκοντα. Clemens Alex.

74b Strom. I: Ὅμηρον τὸν παρ’ Ἕλλησι μέγαν ποιητὴν οἱ μὲν περὶ Κράτητα πρὸ τῆς Ἡρακλειδῶν καθόδου φασὶ γεγονέναι, οἱ δὲ περὶ Ἐρατοσθένην μετὰ ἔτη ρʹ τῶν Τρωϊκῶν, οἱ δὲ περὶ Ἀρίσταρχον κατὰ τὴν Ἰωνικὴν ἀποικίαν μετὰ ἔτη ρʹ, οἱ δὲ περὶ Φιλόχορον ἐπὶ τῆς Ἰωνικῆς ἀποικίας, καθ’ ἕνα τῶν διὰ βίου ἀρχόντων Ἀθήνησιν Ἄρχιππον μετὰ τὰ Τρωϊκὰ ἔτεσιν ρπʹ. Οἱ δὲ περὶ Ἀπολλόδωρον τὸν Ἀθηναῖον ὕστερον τῶν Ἰλιακῶν ἔτη σμʹ. Ἄλλοι μικρὸν πρὸ τῶν Ὀλυμπιάδων ἔτεσι υʹ ἐγγὺς μετὰ Ἰλίου ἅλωσιν, καὶ ἕτεροι κατὰ Ἀρχίλοχον περὶ τὴν κγʹ Ὀλυμπιάδα μετὰ ἔτη φʹ που τῆς ἁλώσεως Τροίας. Tzetzes XII, 193: Ὁ δ’ Ἀπολλόδωρός φησι τὸν Ὅμηρον ὑπάρχειν μετ’ ἔτη ὀγδοήκοντα πολέμου τοῦ τῶν Τρώων, ὁπότε καὶ ἡ κάθοδος Ἡρακλειδῶν ὑπῆρχεν.

75a Syncell. Chronogr.: Ἀπολλόδωρος Λυκούργου νόμιμα ἐν τῷ ηʹ Ἀλκαμένους. Euseb.

75b Chron. No. 1218: Lycurgi leges Lacedaemone, teste Apollodoro, octavo decimo Alcamenis anno. Plutarch.

75c Lycurg. init.: Περὶ Λυκούργου τοῦ νομοθέτου καθόλου μὲν οὐδέν ἐστιν εἰπεῖν ἀναμφισβήτητον, ἥκιστα δὲ οἱ χρόνοι καθ’ οὓς γέγονεν ὁ ἀνὴρ ὁμολογοῦνται. Οἱ μὲν γὰρ Ἰφίτῳ συνακμάσαι καὶ συνδιαθεῖναι τὴν Ὀλυμπιακὴν ἐκεχειρίαν λέγουσιν αὐτόν· ὧν ἔστι καὶ Ἀριστοτέλης ὁ φιλόσοφος, τεκμήριον προφέρων τὸν Ὀλυμπίασι δίσκον, ἐν ᾧ τοὔνομα τοῦ Λυκούργου διασώζεται καταγεγραμμένον· οἱ δὲ ταῖς διαδοχαῖς τῶν ἐν Σπάρτῃ βεβασιλευκότων ἀναλεγόμενοι τὸν χρόνον, ὥσπερ Ἐρατοσθένης καὶ Ἀπολλόδωρος οὐκ ὀλίγοις ἔτεσιν πρεσβύτερον ἀποφαίνουσι τῆς πρώτης Ὀλυμπιάδος. Ol.

76 35, 1, 639 a. C. Diogen. Laert. I, de Thalete: Φησὶ δὲ Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς γεγενῆσθαι αὐτὸν κατὰ τὸ πρῶτον ἔτος τῆς τριακοστῆς πέμπτης Ὀλυμπιάδος. Ἐτελεύτησε δ’ ἐτῶν ἑβδομήκοντα ὀκτὼ, ἢ, ὡς Σωσικράτης φησὶν, ἐνενήκοντα. Ol.

77 40, 620 a. C. Clemens Alex. Strom. I, de Xenophane Colophonio: Ὅν φησι Τίμαιος κατὰ Ἱέρωνα, τὸν Σικελίας δυνάστην, καὶ Ἐπίχαρμον τὸν ποιητὴν γεγονέναι· Ἀπολλόδωρος δὲ κατὰ τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τεσσαρακοστὴν Ὀλυμπιάδα γενόμενον παρατετακέναι ἄχρι τῶν Δαρείου τε καὶ Κύρου χρόνων. Diogenes Laert.

78 I, 74: Ὕστερον μέντοι φησὶν Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς διαδικασθῆναι τοὺς Ἀθηναίους περὶ τοῦ χωρίου πρὸς τοὺς Μιτυληναίους, ἀκούοντος τῆς δίκης Περιάνδρου, ὃν καὶ τοῖς Ἀθηναίοις προσκρῖναι. Ol.

79 58, 2. 547 a. C. Diogen. Laert. II, 2, de Anaximandro Milesio: Τῶν δὲ ἀρεσκόντων αὐτῷ πεποίηται κεφαλαιώδη τὴν ἔκθεσιν, ᾗπερ περιέτυχε καὶ ὁ Ἀπολλόδωρος ὁ Ἀθηναῖος· ὅς καί φησιν αὐτὸν ἐν τοῖς Χρονικοῖς τῷ δευτέρῳ ἔτει τῆς πεντηκοστῆς ὀγδόης Ὀλυμπιάδος ἐτῶν εἶναι ἑξήκοντα τεσσάρων, καὶ μετ’ ὀλίγον τελευτῆσαι, ἀκμάσαντά πη μάλιστα κατὰ Πολυκράτην τὸν Σάμου τύραννον. Ol.

80 63, 528 a. C. Diogen. Laert. II, 3, de Anaximene Milesio: Καὶ γεγένηται μὲν, καθά φησιν Ἀπολλόδωρος, τῇ ἑξηκοστῇ τρίτῃ Ὀλυμπιάδι, ἐτελεύτησε δὲ περὶ τὴν Σάρδεων ἅλωσιν. Ol.

81 71, 1. 500 a. C. Diogen. Laert. II, 7, de Anaxagora: Φησὶ δ’ Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς, γεγενῆσθαι αὐτὸν τῇ ἑβδομηκοστῇ Ὀλυμπιάδι, τεθνηκέναι δὲ τῷ πρώτῳ ἔτει τῆς ὀγδοηκοστῆς ὀγδόης. Ol.

82 77, 4. 469 a. C. Diogen. Laert. II, 44, de Socrate: Ἐγεννήθη, καθά φησιν Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς, ἐπὶ Ἀψεφίωνος ἐν τῷ τετάρτῳ ἔτει τῆς ἑβδομηκοστῆς ἑβδόμης Ὀλυμπιάδος, Θαργηλιῶνος ἕκτῃ, ὅτε καθαίρουσι τὴν πόλιν οἱ Ἀθηναῖοι, καὶ τὴν Ἄρτεμιν γενέσθαι Δήλιοι φασίν. Ἐτελεύτησε δὲ τῷ πρώτῳ ἔτει τῆς ἐννενηκοστῆς πέμπτης Ὀλυμπιάδος, γεγονὼς ἐτῶν ἑβδομήκοντα. (Ol.

83 79, 464 a. C.) Diogen. Laert. IX, 25: Ζήνων Ἐλεάτης. Τοῦτον Ἀπολλόδωρός φησιν εἶναι ἐν Χρονικοῖς φύσει μὲν Τελευταγόρου, θέσει δὲ Παρμενίδου. Ol.

84 80, 460 a. C. Diogen. Laert. IX, 41, de Democrito: Γέγονε δὲ τοῖς χρόνοις, ὡς αὐτός φησιν ἐν τῷ μικρῷ Διακόσμῳ, νέος κατὰ πρεσβύτην Ἀναξαγόραν, ἔτεσιν αὐτοῦ νεώτερος τετταράκοντα. Συντετάχθαι δέ φησι τὸν μικρὸν Διάκοσμον ἔτεσιν ὕστερον τῆς Ἰλίου ἁλώσεως τριάκοντα καὶ ἑπτακοσίοις· γεγόνοι δ’ ἂν, ὡς μὲν Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς, κατὰ τὴν ὀγδοηκοστὴν Ὀλυμπιάδα. Ol.

85 84, 444 a. C. Diogen. Laert. IX, 41, de Melisso, Parmenidis et Heracliti discipulo: Φησὶν Ἀπολλόδωρος ἠκμακέναι αὐτὸν κατὰ τὴν τετάρτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα. Ol.

86 84, 444 a. C. Diogen. Laert. IX, 50, de Protagora: Πρωταγόρας Ἀρτέμωνος, ἢ, ὡς Ἀπολλόδωρος καὶ Δίνων ἐν Περσικοῖς, Μαιανδρίου. Idem IX, 56: Ἔνιοι κατὰ τὴν ὁδὸν τελευτῆσαι αὐτὸν, βιώσαντα ἔτη πρὸς τὰ ἐνενήκοντα· Ἀπολλόδωρος δέ φησιν ἑβδομήκοντα, σοφιστεῦσαι δὲ τεσσαράκοντα ἔτη καὶ ἀκμάζειν κατὰ τὴν τετάρτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα. Ol.

87 84. 442 a. C. Diogen. Laert. VIII, 74, de Empedocle: Ἤκμασε κατὰ τὴν πδ′ Ὀλυμπιάδα. Supra VIII, 52: Ἀπολλόδωρος δὲ ὁ γραμματικὸς ἐν τοῖς Χρονικοῖς φησιν· «ὡς ἦν Μέτωνος μὲν υἱὸς, εἰς δὲ Θουρίους αὐτὸν νεωστὶ παντελῶς ἐκτισμένους Γλαῦκος ἐλθεῖν φησιν.» Εἶθ’ ὑποβάς· «οἱ δ’ ἱστοροῦντες, ὡς οἴκοθεν πεφευγὼς εἰς τὰς Συρακούσας, μετ’ ἐκείνων ἐπολέμει πρὸς τοὺς Ἀθηναίους, τελέως ἀγνοεῖν μοι δοκοῦσιν. Ἢ γὰρ οὐκέτ’ ἦν, ἢ παντελῶς ὑπεργεγηρακώς· ὅπερ οὐ φαίνεται. Ἀριστοτέλης γὰρ αὐτὸν, ἔτι τε Ἡράκλειτον, ἑξήκοντα ἐτῶν φησὶ τετελευτηκέναι.» Ὁ δὲ πρώτην καὶ ἑβδομηκοστὴν Ὀλυμπιάδα νενικηκὼς κέλητι, τούτου πάντως ἦν ὁμώνυμος· ὡς θ’ ἅμα καὶ τὸν χρόνον ὑπὸ τοῦ Ἀπολλοδώρου σημαίνεσθαι. Diogen.

88

Laert. VIII, 58: Γοργίαν γοῦν τὸν Λεοντῖνον αὐτοῦ γενέσθαι μαθητὴν, ἄνδρα ὑπερέχοντα ἐν ῥητορικῇ, καὶ τέχνην ἀπολελοιπότα. Ὅν φησιν Ἀπολλόδωρος ἐν Χρονικοῖς ἐννέα πρὸς τοῖς ἑκατὸν ἔτη βιῶναι. Ol.

89 88, 4. 428 a. C. Diogen. Laert. III, 2, 3: Γίνεται Πλάτων, ὥς φησιν Ἀπολλόδωρος ἐν Χρονικοῖς, ὀγδόῃ καὶ ὀγδοηκοστῇ Ὀλυμπιάδι, Θαργηλιῶνος ἑβδόμῃ· καθ' ἣν Δήλιοι τὸν Ἀπόλλωνα γενέσθαι φασίν. Ol.

90 93, 3. 406 a. C. Diodor. XIII, 103: Ἀπολλόδωρος δὲ, ὁ τὴν χρονικὴν σύνταξιν πραγματευσάμενος, φησὶ καὶ τὸν Εὐριπίδην κατὰ τὸν αὐτὸν ἐνιαυτὸν τελευτῆσαι. Ol.

91 93, 4. 405 a. C. Diodor. XIII, 108: Καθ' ὃν δὴ χρόνον καὶ Ἀντίμαχον τὸν ποιητὴν Ἀπολλόδωρος ὁ Ἀθηναῖος φησὶν ἠνθηκέναι. Ol.

92 99, 1. 381 a. C. Diogen. Laert. V, 9: Φησὶ δ' Ἀπολλόδωρος ἐν Χρονικοῖς, γεννηθῆναι μὲν αὐτὸν τῷ πρώτῳ ἔτει τῆς ἐνάτης καὶ ἐνενηκοστῆς Ὀλυμπιάδος, παραβαλεῖν δὲ Πλάτωνι καὶ διατρίψαι παρ' αὐτῷ εἴκοσιν ἔτη, ἑπτακαιδεκέτη συστάντα, καὶ εἴς τε Μυτιλήνην ἐλθεῖν ἐπὶ ἄρχοντος Εὐβούλου τῷ τετάρτῳ ἔτει τῆς ὀγδόης καὶ ἑκατοστῆς Ὀλυμπιάδος· Πλάτωνος δὲ τελευτήσαντος τῷ πρώτῳ ἔτει ἐπὶ Θεοφίλου, πρὸς Ἑρμείαν ἀπᾶραι καὶ μεῖναι ἔτη τρία· ἐπὶ Πυθοδότου δ' ἐλθεῖν πρὸς Φίλιππον, τῷ δευτέρῳ ἔτει τῆς ἐνάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος, Ἀλεξάνδρου πεντεκαίδεκα ἔτη ἤδη γεγονότος· εἰς δ' Ἀθήνας ἀφικέσθαι τῷ δευτέρῳ ἔτει τῆς ἑνδεκάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος· καὶ ἐν Λυκείῳ σχολάσαι ἔτη τρία πρὸς τοῖς δέκα. Εἶτα ἀπᾶραι εἰς Χαλκίδα τῷ τρίτῳ ἔτει τῆς τετάρτης καὶ δεκάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος, καὶ τελευτῆσαι ἐτῶν τριῶν που καὶ ἑξήκοντα νόσῳ, ὅτε καὶ Δημοσθένην καταστρέψαι ἐν Καλαυρίᾳ ἐπὶ Φιλοκλέους. Ol.

93 103, 368 a. C. Diogen. Laert. VIII, 90: Γεγόνασι δὲ Εὔδοξοι τρεῖς· αὐτὸς οὗτος (sc. ὁ Κνίδιος), ἕτερος Ῥόδιος ἱστορίας γεγραφὼς, τρίτος Σικελιώτης παῖς Ἀγαθοκλέους, ποιητὴς κωμῳδίας, νίκας ἑλὼν ἀστικὰς μὲν τρεῖς, Ληναϊκὰς δὲ πέντε, καθά φησιν Ἀπολλόδωρος ἐν Χρονικοῖς. ... Ὁ δ' αὐτός φησι τὸν Κνίδιον Εὔδοξον ἀκμάσαι κατὰ τὴν τρίτην καὶ ἑκατοστὴν Ὀλυμπιάδα, εὑρεῖν τε τὰ περὶ τὰς καμπύλας γραμμάς. Ἐτελεύτησε δὲ τρίτον ἄγων καὶ πεντηκοστὸν ἔτος. Diogen.

94 Laert. IX, 61, de Pyrrhone: Πύῤῥων Ἠλεῖος, Πλειστάρχου μὲν ἦν υἱὸς, καθὰ καὶ Διοκλῆς ἱστορεῖ, ὥς φησι δὲ Ἀπολλόδωρος ἐν Χρονικοῖς, πρότερον ἦν ζωγράφος. Ol.

95 109, 3. 342 a. C. Diogen. Laert. X, 13, de Epicuro: Τοῦτον Ἀπολλόδωρος ἐν Χρονικοῖς Ναυσιφάνους ἀκοῦσαι φησὶ καὶ Πραξιφάνους. Ἐγεννήθη δὲ, φησὶν Ἀπολλόδωρος ἐν Χρονικοῖς, κατὰ τὸ τρίτον ἔτος τῆς ἐνάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος, ἐπὶ Σωσιγένους ἄρχοντος, μηνὸς Γαμηλιῶνος ἑβδόμῃ, ἔτεσιν ὕστερον τῆς Πλάτωνος τελευτῆς ἑπτά· ὑπάρχοντα δὲ αὐτὸν ἐτῶν δύο καὶ τριάκοντα, ἐν Μυτιλήνῃ καὶ Λαμψάκῳ πρῶτον συστήσασθαι σχολὴν ἐπὶ ἔτη πέντε· ἔπειθ' οὕτως εἰς Ἀθήνας μετελθεῖν, καὶ τελευτῆσαι κατὰ τὸ δεύτερον ἔτος τῆς ἑβδόμης καὶ εἰκοστῆς καὶ ἑκατοστῆς Ὀλυμπιάδος, ἐπὶ Πυθαράτου, ἔτη βιώσαντα δύο πρὸς τοῖς ἑβδομήκοντα, τήν τε σχολὴν διαδέξασθαι Ἕρμαρχον Ἀγεμάρχου Μυτιληναῖον. Ol.

96 122, 2. 291 a. C. Gellius XVII, 4, de Menandro: Sed Apollodori, scriptoris celebratissimi, hos de Menandro versus legimus in libro, qui Chronica inscriptus est : Κηφισιεὺς ὢν ἐκ Διοπείθεος πατρὸς, πρὸς τοῖσιν ἑκατὸν πέντε γράψας δράματα ἐξέλιπε, πεντήκοντα καὶ δυοῖν ἐτῶν. Ex istis tamen centum et quinque omnibus, solis eum octo vicisse idem Apollodorus codem in libro scripsit. Ol.

97

Eulogikon public reading copy · View original HTML at eulogikon.org

123, 2. 287 a. C. Diogen. Laert. V, 58, de Stratone Peripatetico: Σχολαρχεῖν δὲ, καθά φησιν Ἀπολλόδωρος ἐν Χρονικοῖς, ἤρξατο τῇ τρίτῃ καὶ εἰκοστῇ καὶ ἑκατοστῇ Ὀλυμπιάδι, τῆς σχολῆς ἀφηγησάμενος ἔτη ὀκτωκαίδεκα. Diogen.

98 Laert. IV, 23, de Cratete Atheniensi: Τελευτῶν δὲ ὁ Κράτης, καθά φησιν Ἀπολλόδωρος ἐν τρίτῳ τῶν Χρονικῶν, ἀπέλιπε βιβλία, τὰ μὲν φιλοσοφούμενα, τὰ δὲ περὶ κωμῳδίας, τὰ δὲ λόγους δημηγορικοὺς καὶ πρεσβευτικούς. Diogen.

99 Laert. IV, 28: Ἀρκεσίλαος, Σεύθου ἢ Σκύθου, ὡς Ἀπολλόδωρος ἐν τρίτῳ Χρονικῶν. Syncell.

100 Chron.: Οἱ βασιλεῖ Ποντίων δέκα κατὰ τούτους ἦρξαν τοὺς χρόνους διαρκέσαντες ἔτη σιη′· περὶ ὧν Ἀπολλόδωρος καὶ Διονύσιος ἱστοροῦσι. Ol.

101 143. Diogen. Laert. VII, 184, de Chrysippo: Τοῦτον ἐν τῷ Ὠιδείῳ σχολάζοντά φησιν Ἕρμιππος, ἐπὶ θυσίαν ὑπὸ τῶν μαθητῶν κληθῆναι· ἔνθα προσενεγκάμενον γλυκὺν ἄκρατον καὶ ἰλιγγιάσαντα πεμπταῖον ἀπελθεῖν ἐξ ἀνθρώπων, τρία καὶ ἑβδομήκοντα βιώσαντα ἔτη, κατὰ τὴν τρίτην καὶ τετταρακοστὴν καὶ ἑκατοστὴν Ὀλυμπιάδα, καθά φησιν Ἀπολλόδωρος ἐν Χρονικοῖς. Ol.

102 162, 4. Diogen. Laert. IV, 65, de Carneade: Φησὶ δὲ Ἀπολλόδωρος ἐν Χρονικοῖς ἀπελθεῖν αὐτὸν ἐξ ἀνθρώπων ἔτει τετάρτῳ τῆς δευτέρας καὶ ἑξηκοστῆς καὶ ἑκατοστῆς Ὀλυμπιάδος, βιώσαντα ἔτη πέντε πρὸς τοῖς ὀγδοήκοντα. Phlegon De longaevis, 2: Κτησίβιος ὁ ἱστοριογράφος ἔτη ἑκατὸν τέσσαρα (ἔζησεν), ἐν περιπάτῳ δὲ ἐτελεύτα, ὡς Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς δεδήλωκεν.

104 Joseph. Contra Apionem II, 7: Antiochus neque justam fecit templi depraedationem, sed egestate pecuniarum ad hoc accessit, quum non esset hostis, et socios insuper nos suos et amicos aggressus est, nec aliquid dignum deristione illic invenit. Multi et digni scriptores super hoc quoque testantur: Polybius Megalopolitanus, Strabo Cappadox, Nicolaus Damascenus, Timagenes et Castor chronographus et Apollodorus: qui omnes dicunt, pecuniis indigentem Antiochum transgressum faedera Judaeorum, et spoliasse templum auro argentoque ple num. ΠΕΡΙ ΓΗΣ sive ΠΕΡΙΗΓΗΣΙΣ.

**LIBER I. Steph.**

105 Byz.: Ταυρόεις, πόλις Κελτικὴ, Μασσαλιωτῶν ἄποικος. Οἱ πολῖται Ταυροέντιοι. Ἀπολλόδωρος ἐν πρώτῳ Γεωγραφουμένων φησὶν, ὅτι ταυροφόρος ἦν ἡ ναῦς ἡ διακομίσασα τοὺς τὴν πόλιν κτίσαντας· οἳ ἀποῤῥιφέντες ἀπὸ τοῦ στόλου τῶν Φωκαέων καὶ προσενεχθέντες αὐτόθι ἀπὸ τοῦ ἐπισήμου τῆς νεὼς τὴν πόλιν ὠνόμασαν. LIBER II.

106 Idem: Ἄβυλλοι, ἔθνος πρὸς τῇ Τρωγλοδυτικῇ, ἔγγιστα τοῦ Νείλου, ὡς Ἀπολλόδωρος ἐν δευτέρῳ Περιηγήσεως. Idem: Ἀριανία, ἔθνος προσεχὲς τοῖς Καδουσίοις.

107 Ἀπολλόδωρος δευτέρῳ. Idem: Αὔγιλα, οὐδετέρως, πόλις Λιβύης· Ἀπολλόδωρος β′ Περιηγήσεως.

109 Idem: Αὐσεῖς, ἔθνος Λιβύης. Ἀπολλόδωρος δευτέρᾳ Περιηγήσεως. Idem: Αὐσχῖται, ἔθνος Λιβύης ὑπὲρ Βάρκης.

109a Ἀπολλόδωρος δευτέρᾳ Περιηγήσεως καὶ Ἡρόδοτος ἐν τετάρτῃ. Idem: Γαυγάμηλα, τόπος Περσίδος.

110 Ἀπολλόδωρος ἐν τῷ Περὶ τῆς γῆς δευτέρῳ. Idem: Ἰβηρίαι δύο, ἡ μὲν πρὸς ταῖς Ἡρακλείαις στήλαις, ἀπὸ Ἴβηρος ποταμοῦ, οὗ μέμνηται Ἀπολλόδωρος ἐν τῇ Περὶ γῆς β′· «Ἐντὸς δὲ Πυρήνης Ἴβηρ τ᾽ ἐστὶν μέγας ποταμὸς φερόμενος ἐνδοτέρῳ.

111

Eulogikon public reading copy · View original HTML at eulogikon.org

» Idem: Λᾶος, πόλις Λευκανίας.

112 Ἀπολλόδωρος ἐν τῷ Περὶ γῆς δευτέρῳ. Idem: Μάρδοι, ἔθνος Ὑρκανῶν.

113 Ἀπολλόδωρος Περὶ γῆς δευτέρῳ. Λῃσταὶ δ' οὗτοι καὶ τοξόται. Idem: Μασσύλοι, Λιβυκὸν ἔθνος.

113a Ἀπολλόδωρος β'. Idem: Νάστος, πόλις Θρᾴκης.

114 Γράφεται καὶ Νεστός. Ἀπολλόδωρος δευτέρᾳ Περιηγήσει. Idem: Νοῦβαι, ἔθνος Λιβύης παρὰ Νείλῳ.

115 Ἀπολλόδωρος δευτέρῳ Περὶ γῆς. Λέγονται καὶ Νουβαῖοι, ὡς Δαβαῖοι, καὶ Νουβάδες οἱ αὐτοί. Idem: Ὀρβίται, ἔθνος Ἰνδικὸν, ὡς Ἀπολλόδωρος δευτέρῳ περὶ Ἀλεξανδρείας.

117 Idem: Παροπάμισσος, πόλεως ὄρος Ἰνδικῆς, ἀφ' οὗ Παροπαμισάδαι οἱ παροικοῦντες. Ἀπολλόδωρος δὲ ἐν δευτέρῳ Περὶ γῆς ἀπ' αὐτῶν φησι τὸ ὄρος κεκλῆσθαι. Idem: Τόρεται, ἔθνος Ποντικόν.

118 Ἀπολλόδωρος δευτέρῳ Περιηγήσεως. Idem: Ὑλλεῖς, ἔθνος Ἰλλυρικόν.

119 Ἀπολλόδωρος ἐν τῷ Περὶ γῆς δευτέρῳ· «Ὑπὲρ δὲ τοὺς Ὕλλους Λιβυρνοὶ καί τινες Ἴστροι λεγόμενοι Θρᾶκες.» Καὶ τὸ θηλυκὸν Ὕλλις. «Πρόκειται Χεῤῥόνησος Ὑλλικὴ μάλιστα Πελοποννήσου, ὥς φασι, πεντεκαίδεκα πόλεις ἔχουσα παμμεγέθεις οἰκουμένας.» Idem: Ψησσοὶ, ἔθνος τῆς Ταυρινίας. [5]

120 Ἀπολλόδωρος ἐν δευτέρῳ Περιηγήσεως· «Ἔπειτα δ' Ἑρμώνασσα καὶ Κῆπος, τρίτον δὲ τὸ Ψησσῶν ἔθνος.» Idem: Ὠρῖται, ἔθνος Ἰνδικὸν αὐτόνομον.

121 Στράβων ... καὶ Ἀπολλόδωρος δευτέρῳ· «Ἔπειτα δ' Ὠρίτας τε καὶ Γεδρωσίους, «ὧν τοὺς μὲν Ἰνδοὺς, ὡς ἐνοικοῦντας πέτραν ... Strabo XIV: Νῦν δέ γε .

122 .. ἀμαθία τὸ λέγειν τριγωνοειδὲς τὸ τοιοῦτον τετράπλευρον, οὐδὲ χωρογραφικόν· ὁ δὲ καὶ χωρογραφίαν ἐξέδωκεν ἐν κωμικῷ μέτρῳ, Γῆς Περίοδον ἐπιγράψας. Idem I, 105, B: Οἷον Ἰβήρων μὲν τῶν ἑσπερίων εἰς τοὺς ὑπὲρ τοῦ Πόντου καὶ τῆς Κολχίδος τόπους μετῳκισμένων, οὓς καὶ ὁ Ἀράξης, ὥς φησιν Ἀπολλόδωρος, ἀπὸ τῆς Ἀρμενίας ὁρίζει. [5]

124 Steph. Byz.: Ἄδρανον, πόλις Σικελίας ἐν τῇ Αἴτνῃ ... Ἀπολλόδωρος δὲ Ἀδρανίτας φησὶ τὸ ἐθνικόν. Idem: Αἶνος, πόλις Θρᾴκης.

125 ... Ταύτην Ἀπολλόδωρός φησιν ὠνομάσθαι Πολτυοβρίαν. Idem: Ἁλικαρνασσός.

126 ... Ἀπὸ τοῦ νάσασθαι αὐτὸν ἀπὸ Τροιζῆνος, ὡς Ἀπολλόδωρος. Steph.

127 : Ἀλλόβρυγες, ἔθνος δυνατώτατον Γαλατικὸν, ὡς Ἀπολλόδωρος. Idem: Ἀμφιγένεια .

128 .. ἔστι κατὰ μὲν Ἀπολλόδωρον τῆς Μακιστίας, κατὰ δὲ τὸν Ἀντίμαχον Μεσσηνίας. Idem: Ἀντικύρα, πόλεις δύο, ἡ μία Φωκίδος, .

129 .. ἡ δὲ ἐν Μαλιεῦσιν, ὡς Ἀπολλόδωρος. Idem: Αὐτομάλακα, χωρίον Λιβύης.

130 Πολυΐστωρ τρίτῃ· Ἀπολλόδωρος δὲ Αὐτόμαλά φησι. Idem: Βῆσσα, πόλις Λοκρῶν.

131 Ἡρωδιανὸς δι' ἑνὸς ς γράφει, Ἀπολλόδωρος δὲ ... διὰ δύο. Idem: Δαμαῖοι, ἔθνος παρὰ τοῖς Ἰχθυοφάγοις, ὡς Ἀπολλόδωρος.

133 Idem: Ἐχῖναι, νῆσοι περὶ τὴν Αἰτωλίαν ... Λέγονται καὶ Ἐχινάδες διὰ τὸ τραχὺ καὶ ὀξὺ, παρὰ τὸν ἐχῖνον, ἢ διὰ τὸ πλῆθος ἔχειν ἐχίνων. Ἀπολλόδωρος δὲ ἀπὸ Ἐχίνου μάντεως. Idem: Θέρμη, πόλις Θρᾴκης.

134 Ἀπολλόδωρος δὲ Μακεδονίας φησὶ καὶ Θουκυδίδης. Idem: Λακεδαίμων.

135 ... Ὁ πολίτης Λακεδαιμόνιος ... λέγεται κατὰ συγκοπὴν Λάκων· ὡς Ἀπολλόδωρός φησιν, ὡς τοῦ Κυδωνιᾶται οἱ Κύδωνες. Idem: Μένδη, πόλις Θρᾴκης, ἀπὸ Μένδης γυναικός.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

136 Ἀπολλόδωρος Μένδιν αὐτήν φησι. Idem: Ὀδησσὸς, πόλις ἐν τῷ Πόντῳ, πρὸς τῷ Σαλμυδησσῷ.

137 Ἀπολλόδωρος δ’ ὄρος μέγα τὴν Ὀδησσόν φησιν. Idem: Πασσαργάδαι.

138 … Ἀπολλόδωρος δὲ ἀρσενικῶς φησιν. Idem: Πέφνον, πόλις Λακωνικὴ, οὐδετέρως.

139 Ἀπολλόδωρος δὲ νῆσον αὐτήν φησιν. Idem: Σικανία, ἡ περίχωρος Ἀκραγαντίνων.

140 Καὶ ποταμὸς Σικανὸς, ὥς φησιν Ἀπολλόδωρος. Idem: Τέβερις, ποταμὸς Ἰταλίας, ἔνθα ἡ Ῥώμη καὶ ἡ τῶν Λατίνων ἐστὶ χώρα, ὡς Ἀπολλόδωρος.

142 Idem: Τένεδος, … Ἐστὶ καὶ πόλις Τένεδος πρὸς τῇ Λυκίᾳ. Ἀπολλόδωρος δὲ Παμφυλίας αὐτὴν εἶναί φησι. Idem: Φιλωτέρα, πόλις περὶ τὴν Τρωγλοδυτικὴν, Σατύρου κτίσμα.

143 Ἀπολλόδωρος δὲ Φιλωτερίδα καλεῖ. Idem: Ὠκαλέα, πόλις Βοιωτίας.

144 … Ὅμηρος. … ἐκαλεῖτο δὲ Ὠκάλεια, ὡς Ἀπολλόδωρος. Idem: Ὠρικός.

145 … Ἑκαταῖος λιμένα καλεῖ Ἠπείρου τὸν Ὠρικὸν … Ἀπολλόδωρος δὲ ὁ θαυμασιώτατος πόλιν αὐτὴν οἶδε. Idem: Ὠρεὸς, πόλις Εὐβοίας.

146 … Ὠρείτης … Ἀπολλόδωρος δὲ τετρασυλλάβως φησὶν, οὐ διὰ τῆς ει διφθόγγου, ἀλλὰ διὰ τοῦ ε καὶ ι, Ὠρεΐτας· «Οὕτω τὴν τῶν Ὠρεϊτῶν νυκτὸς αἱροῦσι πόλιν.» Schol.

147 Apollonii I, 1116: Πεδίον Νηπείας ἐστὶ περὶ Κύζικον … Ἀπολλόδωρος δέ φησι Νηπείας πεδίον ἐν Φρυγίᾳ. Schol.

148 Pind. Ol. I, 35 ad verba, Δεσπόταν Συρακόσιον ἱπποχάρμαν βασιλῆα: Τότε γὰρ Ἱέρων ἦν Συρακούσιος, καὶ οὐδὲ ἦν Αἰτναῖος, ὥς φησιν Ἀπολλόδωρος. Schol.

149 Pindari Ol. IX, 63: Πρωτογενείας ἄστει … τῇ Ὀποῦντι λέγει· ἐκεῖ γάρ φησι Δευκαλίωνα καὶ Πύῤῥαν οἰκῆσαι, ὧν θυγάτηρ Πρωτογένεια. Ἀπολλόδωρος (δὲ) φησὶν, οὐκ ἐν Ὀποῦντι, ἀλλ’ ἐν Κύνῳ τὸν Δευκαλίωνα καὶ τὴν Πύῤῥαν οἰκῆσαι. Etymol. [5]

150 M.: Ἑλληνόπολις. Ἀπολλόδωρος· «Ἄτταλὸς ἐκ τῶν Ἑλληνίδων πόλεων οἰκήτορας συναγαγὼν, ἔκτισε πόλιν, καὶ ὠνόμασεν αὐτὴν Ἑλληνόπολιν.» ΠΕΡΙ ΝΕΩΝ, vel ΠΕΡΙ ΤΟΥ ΝΕΩΝ ΚΑΤΑΛΟΓΟΥ.

t151-158 LIBER I. Steph.

151a Byz.: Πλαταιαὶ, πόλις Βοιωτίας … κέκληται δὲ ἀπὸ τῆς πλάτης τῆς κώπης, ὡς Ἀπολλόδωρος πρώτῳ τοῦ Καταλόγου· Ἐκλιμνωθείσης τῆς Βοιωτίας, τοὺς παροικοῦντας ταῖς λίμναις Βοιωτοὺς πλῷ πορεύεσθαι ἐπ’ ἀλλήλων. Ὅθεν παρὰ τὴν πλάτην καὶ τὴν κώπην τὰς πόλεις κληθῆναι. Eustath. [5]

151b ad Il. B, 502: Φασὶν ὅτι Κῶπαι καὶ Κωπαῒς ἐκλήθησαν διὰ τὰς κώπας, αἷς ἐχρῶντο οἱ ἐγχώριοι πρὸς ἀλλήλους πλέοντες, διὰ τὸ ἀπολιμνωθῆναι, φασὶ, τὰ ἐκεῖ. Ὅθεν καὶ ἡ ἐκεῖσέ που Πλάταια πόλις παρὰ τὴν πλάτην, ὃ δηλοῖ τὴν κώπην. Idem: Ἄργουρα, πόλις Θεσσαλίας ἡ πρότερον Ἄργισσα . [5]

152 .. Τὸ ἐθνικὸν ἔδει Ἀργουραῖος, ὡς καὶ Φίλων· Ἀπολλόδωρος δέ φησιν ἐν πρώτῳ Νεῶν καταλόγῳ Ἀργείους ὀνομάζεσθαι· ἢ τῆς προσηγορίας μεταπεσούσης, ἢ διὰ τὸ προσκυροῦν τὰ πεδία τῆς Θετταλίας, ἣν δὴ Πελασγικὸν Ἄργος εἶπεν Ὅμηρος. Etymol. [5]

153 M.: Ἀσπληδών· φασὶ γὰρ εἶναι Σπληδόνα τὸν Πρεσβῶνος καὶ Στερόπης· Ἀπολλόδωρος δέ φησιν Ἀσκληπιάδην οὕτω λέγειν· Σπληδόνα τ’ ἠγαθέην. Steph.

154 Byz.: Ὠρωπός. … Τὸ ἐθνικὸν Ὠρωπιεύς· οὕτω γὰρ ὁ αὐτὸς (sc. Ἀπολλόδωρος) ἐν Νεῶν καταλόγῳ πρώτῃ· «Ἔστι δ’ ἡ Γραῖα τόπος, τῶν Ὠρωπιέων πόλις.» Strabo IX: Οἴονται δέ τινες δεῖν γράφειν· Ἶσόν τε ζαθέην, Ἀνθηδόνα τ’ ἐσχατόωσαν· ἐκτείνοντες τὴν πρώτην συλλαβὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποιητικῶς διὰ τὸ μέτρον, ἀντὶ τοῦ Νῖσάν τε ζαθέην· ἡ γὰρ Νῖσα οὐδαμοῦ φαίνεται τῆς Βοιωτίας, ὥς φησιν Ἀπολλόδωρος ἐν τοῖς Περὶ νεῶν· ὥστ' οὐκ ἂν εἴη, εἰ μὴ τὴν Ἴσον οὕτως εἴρηκεν.

156 Strabo X: Καὶ Ἀπολλόδωρος δ' εἴρηκεν ἐκ τῆς Βοιωτίας ἀπελθόντας Ὕαντας ἱστορεῖσθαι καὶ ἐποίκους τοῖς Αἰτωλοῖς γενομένους. Idem lib.

157 IX: Εὖ γὰρ, τὴν τοιαύτην ὕλην ὑποβεβλήκασιν ἡμῖν οἱ τὰ περὶ τῶν νεῶν συγγράψαντες· οἷς ἀκολουθοῦμεν, ὅταν οἰκεῖα λέγωσι πρὸς τὴν ἡμετέραν ὑπόθεσιν. Steph.

158 Byz.: Ἀκτή· οὕτως ἡ Ἀττικὴ ἐκαλεῖτο ἀπὸ Ἀκταίου τινός. Ἀνὴρ δὲ ἦν αὐτόχθων, ὡς Φαβωρῖνος, ὃς ἐβασίλευσεν ἐκεῖ, καὶ ἀφ' ἑαυτοῦ οὕτω τὴν χώραν ὠνόμασε καὶ τοὺς λαούς. Ἀπολλόδωρος δὲ τἀναντία φησίν· «Οὕτω γὰρ ἐκλήθη διὰ τὸ πολὺ μέρος αὐτῆς καθικνεῖσθαι εἰς θάλασσαν. Τριγώνου γὰρ οὔσης, αἱ συννεύουσαι ὑπὸ τὸ Σούνιον ἑκατέρωθεν δύο πλευραὶ παράλιοι τυγχάνουσι, δι' ἃς τῶν ἐπὶ Κέκροπος φυλῶν τεττάρων οὐσῶν δύο προσηγόρευσαν Ἀκταίαν καὶ Παραλίαν.» LIBER II.

159 Strabo VII: Ἃ δ' Ἀπολλόδωρος ἐν τῷ δευτέρῳ περὶ νεῶν προοιμιαζόμενος εἴρηκεν, ἥκιστα λέγοιτ' ἄν. Ἐπαινεῖ γὰρ Ἐρατοσθένους ἀπόφασιν, ὅτι φησὶν ἐκεῖνος καὶ Ὅμηρον καὶ τοὺς ἄλλους τοὺς παλαιοὺς τὰ μὲν Ἑλληνικὰ εἰδέναι, τῶν δὲ πόρρω πολλὴν ἔχειν ἀπειρίαν, ἀπείρους μὲν μακρῶν ὁδῶν ὄντας, ἀπείρους δὲ τοῦ ναυτίλλεσθαι. Συνηγορῶν δὲ τούτοις, Ὅμηρόν φησι τὴν μὲν Αὐλίδα καλεῖν πετρήεσσαν, ὥσπερ καὶ ἔστι· πολύκνημον δὲ τὴν Ἐτεωνὸν, πολυτρήρωνα δὲ τὴν Θίσβην, ποιήεντα δὲ τὸν Ἁλίαρτον· τὰ δ' ἄπωθεν οὔτ' αὐτὸν εἰδέναι οὔτε τοὺς ἄλλους. Ποταμῶν γοῦν περὶ τετταράκοντα ῥεόντων εἰς τὸν Πόντον, μηδὲ τῶν ἐνδοξοτάτων μηδενὸς μεμνῆσθαι, οἷον Ἴστρου, Ταναΐδος, Βορυσθένους, Ὑπάνιος, Φάσιδος, Θερμώδοντος, Ἅλυος· ἔτι δὲ Σκυθῶν μὲν μὴ μεμνῆσθαι, πάντας δὲ ἀγαυοὺς τινὰς Ἱππημολγοὺς καὶ Γαλακτοφάγους Ἀβίους τε. Παφλαγόνας τε τοὺς [μὲν] ἐν τῇ μεσογαίᾳ ἱστορηκέναι παρὰ τῶν πεζῇ τοῖς τόποις πλησιασάντων, τὴν παραλίαν δὲ ἀγνοεῖν· καὶ εἰκότως γε. Ἄπλουν γὰρ εἶναι τότε τὴν θάλατταν ταύτην καὶ καλεῖσθαι Ἄξενον διὰ τὸ δυσχείμερον καὶ τὴν ἀγριότητα τῶν περιοικούντων ἐθνῶν, καὶ μάλιστα τῶν Σκυθικῶν ξενοθυτούντων καὶ σαρκοφαγούντων καὶ τοῖς κρανίοις ἐκπώμασι χρωμένων· ὕστερον δ' Εὔξεινον κεκλῆσθαι, τῶν Ἰώνων ἐν τῇ παραλίᾳ πόλεις κτισάντων. Ὁμοίως δ' ἀγνοεῖν καὶ τὰ περὶ Αἴγυπτον καὶ Λιβύην, οἷον τὰς ἀναβάσεις τοῦ Νείλου καὶ προσχώσεις τοῦ πελάγους· ὧν οὐδαμοῦ μεμνῆσθαι, οὐδὲ τοῦ ἰσθμοῦ τοῦ μεταξὺ τῆς Ἐρυθρᾶς καὶ τῆς Αἰγυπτίας θαλάσσης, οὐδὲ τῶν κατὰ τὴν Ἀραβίαν καὶ Αἰθιοπίαν καὶ τὸν Ὠκεανόν· εἰ μὴ Ζήνωνι τῷ φιλοσόφῳ προσεκτέον γράφοντι· Αἰθίοπάς θ' ἱκόμην καὶ Σιδονίους Ἄραβάς τε. Οὐ θαυμαστὸν δ' εἶναι περὶ Ὁμήρου· καὶ γὰρ τοὺς ἔτι νεωτέρους ἐκείνου πολλὰ ἀγνοεῖν καὶ τερατολογεῖν· Ἡσίοδον μὲν Ἡμίκυνας λέγοντα καὶ Μεγαλοκεφάλους καὶ Πυγμαίους· Ἀλκμᾶνα δὲ Στεγανόποδας· Αἰσχύλον δὲ Κυνοκεφάλους καὶ Στερνοφθάλμους καὶ Μονομμάτους καὶ ἄλλα μυρία. Ἀπὸ δὲ τούτων ἐπὶ τοὺς συγγραφέας βαδίζει Ῥιπαῖα ὄρη λέγοντας, καὶ τὸ Ὠγύγιον ὄρος, καὶ τὴν τῶν Γοργόνων καὶ Ἑσπερίδων κατοικίαν, καὶ τὴν παρὰ Θεοπόμπῳ Μεροπίδα γῆν, παρ' Ἑκαταίῳ δὲ Κιμμερίδα πόλιν, παρ' Εὐημέρῳ δὲ τὴν Παγχαίαν γῆν, παρ' Ἀριστοτέλει δὲ ποταμίους λίθους ἐξ ἄμμου, ἐκ δὲ τῶν ὄμβρων τήκεσθαι, ἐν δὲ τῇ Λιβύῃ Διονύσου πόλιν εἶναι, ταύτην δ' οὐκ ἐνδέχεσθαι δὶς τὸν αὐτὸν ἐξευρεῖν. Ἐπιτείνει δὲ καὶ τοῖς περὶ Σικελίαν τὴν πλάνην λέγουσι καθ' Ὅμηρον τὴν Ὀδυσσέως· εἰ γὰρ αὖ χρῆναι τὴν μὲν πλάνην ἐκεῖ γεγονέναι φάσκειν, τὸν δὲ ποιητὴν ἐξωκεανικέναι μυθολογίας χάριν.

159 Καὶ τοῖς μὲν ἄλλοις συγγνώμην εἶναι, Καλλιμάχῳ δὲ μὴ πάνυ, μεταποιουμένῳ γε γραμματικῆς, ὃς τὴν μὲν Γαῦδον Καλυψοῦς νῆσον φησὶ, τὴν δὲ Κόρκυραν Σχερίαν· ἄλλους δὲ αἰτιᾶται ψεύσασθαι περὶ Γερήνων, καὶ τοῦ Ἀκακησίου, καὶ Δήμου ἐν Ἰθάκῃ, Πελεθρονίου τε ἐν Πηλίῳ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Γλαυκωπίου τε ἐν Ἀθήναις. Τούτοις δὲ μικρὰ τινὰ προσθεὶς τοιαῦτα παύεται, τὰ πλεῖστα μετενέγκας παρὰ τοῦ Ἐρατοσθένους, ὡς καὶ πρότερον ἐμνήσθημεν, οὐκ εὖ εἰρημένα. Τὸ μὲν γὰρ τοὺς ὕστερον ἐμπειροτέρους γεγονέναι τῶν πάλαι περὶ τὰ τοιαῦτα, καὶ Ἐρατοσθένει καὶ τούτῳ δοτέον· τὸ δ’ οὕτω πέρα τοῦ μετρίου προάγειν, καὶ μάλιστα ἐφ’ Ὁμήρου, δοκεῖ μοι κἂν ἐπιπλῆξαί τις δικαίως, καὶ τοὐναντίον εἰπεῖν, ὡς περὶ ὧν ἀγνοοῦσιν αὐτοὶ, περὶ τούτων τῷ ποιητῇ προφέρουσι. Strabo I: Τοῦτο δὲ ἀγνοοῦντα τὸν ποιητὴν, ὥσπερ καὶ τὰ ἄλλα, ὅσα εἴρηκεν Ἀπολλόδωρος ἐν τῷ περὶ νεῶν καταλόγου δευτέρῳ, καταψεύσασθαι τῶν τόπων τὰ μὴ ὄντα.

160b Strabo I: οὐ δήπου κατ’ ἄγνοιαν τοπικὴν καὶ τούτων λεγομένων, ἀλλ’ ἐν μύθου μᾶλλον σχήματι, καθάπερ καὶ τῶν παρ’ Ἡσιόδῳ καὶ τοῖς ἄλλοις, ἃ προφέρει ὁ Ἀπολλόδωρος, οὐδ’ ὃν τρόπον παρατίθησι τοῖς Ὁμήρου ταῦτα, εἰδώς. Τὰ μὲν γὰρ Ὁμήρου τὰ περὶ τὸν Πόντον καὶ τὴν Αἴγυπτον παρατίθησιν, ἄγνοιαν αἰτιώμενος, ὡς λέγειν μὲν τὰ ὄντα βουλομένου, μὴ λέγοντος δὲ τὰ ὄντα, ἀλλὰ τὰ μὴ ὄντα ὡς ὄντα, κατ’ ἄγνοιαν. Ἡσιόδου δ’ οὐκ ἄν τις αἰτιάσαιτο ἄγνοιαν, Ἡμίκυνας λέγοντος καὶ Μακροκεφάλους καὶ Πυγμαίους· οὐδὲ γὰρ αὐτοῦ Ὁμήρου ταῦτα μυθεύοντος· ὧν εἰσὶ καὶ οὗτοι οἱ Πυγμαῖοι· οὐδ’ Ἀλκμᾶνος Στεγανόποδας ἱστοροῦντος, οὐδ’ Αἰσχύλου Κυνοκεφάλους καὶ Στερνοφθάλμους καὶ Μονομμάτους· ὅπου γε οὐδὲ τοῖς πεζῇ συγγράφουσιν ἐν ἱστορίας σχήματι προσέχομεν περὶ πολλῶν, κἂν μὴ ἐξομολογῶνται τὴν μυθογραφίαν. Φαίνεται γὰρ εὐθὺς, ὅτι μύθους παραπλέκουσιν ἑκόντες, οὐκ ἀγνοίᾳ τῶν ὄντων, ἀλλὰ πλάσει τῶν ἀδυνάτων, τερατείας καὶ τέρψεως χάριν. Θεόπομπος δὲ ἐξομολογεῖται φήσας, ὅτι καὶ μύθους ἐν ταῖς ἱστορίαις ἐρεῖ κρεῖττον ἢ ὡς Ἡρόδοτος καὶ Κτησίας καὶ Ἑλλάνικος καὶ οἱ τὰ Ἰνδικὰ συγγράψαντες. Idem: Ἀπολλόδωρος δὲ ἐπιτιμᾷ Καλλιμάχῳ, συνηγορῶν τοῖς περὶ Ἐρατοσθένη, διότι, καίπερ γραμματικὸς ὢν, παρὰ τὴν Ὁμηρικὴν ὑπόθεσιν καὶ τὸν ἐξωκεανισμὸν τῶν τόπων περὶ οὓς τὴν πλάνην φράζει, Γαῦδον καὶ Κόρκυραν ὀνομάζει.

160d Tzetz. Chil. VII, 760: Ὁ δέ γε Ἀπολλόδωρος δευτέρῳ καταλόγου, ψυχὴν ἐπαληθίζουσαν ὥσπερ ὁ Τζέτζης ἔχων, τέρατά τε καὶ πλάσματα οἴεται, γράφων ὧδε· «Ἡμίκυνες, Μακρόκρανοι, καὶ οἱ Πυγμαῖοι, πλάσμα· ὥσπερ οἱ Στεγανόποδες καὶ οἱ Στερνόφθαλμοί τε, αὐτοί τε Κυνοκέφαλοι μετὰ τῶν Μονομμάτων. Μύθων τε Ἱμαντόποδες καὶ Ἱμαντοσκελεῖς τε, Μονοτοκῆται, Ἄῤῥινες, καὶ Ἄστομοι ὁμοίως, Καὶ οἱ Ὀπισθοδάκτυλοι καὶ οἱ Ἀγελαστοῦντες.» Strabo XII: Ἀγνοεῖν γὰρ αὐτὸν πολλὰ τῶν ἐνδόξων ἔφη περὶ τὸν Πόντον, οἷον ποταμοὺς καὶ ἔθνη .

160e .. Strabo I: Οἷον Ἰβήρων μὲν τῶν ἑσπερίων εἰς τοὺς ὑπὲρ τοῦ Πόντου καὶ τῆς Κολχίδος τόπους μετῳκισμένων, οὓς καὶ ὁ Ἀράξης, ὥς φησιν Ἀπολλόδωρος, ἀπὸ τῆς Ἀρμενίας ὁρίζει.

162 Schol. ad Hom. Il. Θ, 284: Ἡ δὲ ἱστορία ἀκριβέστερον εἴρηται παρά τε ἄλλοις πολλοῖς καὶ παρὰ Ἀπολλωνίῳ τῷ γραμματικῷ ἐν τῷ δευτέρῳ τῶν γενῶν. LIBER V.

163 Athenaeus III, 7: Ὅτι δὲ ἡ Σιδοῦς τῆς Κορίνθου ἐστὶ κώμη, Ῥιανὸς εἴρηκεν ἐν πρώτῃ Ἡρακλείας, καὶ ὁ Ἀπολλόδωρος ὁ Ἀθηναῖος ἐν πέμπτῳ περὶ νεῶν καταλόγου. LIBER VII.

164 Steph. Byz.: Λιταὶ, πόλις Λακωνική. Ἀπολλόδωρος ἑβδόμῳ. Idem: Κορώνη, πόλις Μεσσήνης, ὡς Ἀπολλόδωρος ἑβδόμῳ τοῦ Καταλόγου.

165 Strabo VIII: ... καὶ ἡ λιμηρὰ Ἐπίδαυρος, ὡς Ἀρτεμίδωρός φησιν. Ἀπολλόδωρος δὲ Κυθήρων πλησίον ἱστορεῖ ταύτην· εὐλίμενον δὲ οὖσαν βραχέως καὶ ἐπιτετμημένως Λιμηρὰν εἰρῆσθαι, ὡς ἂν λιμενηρὰν, μεταβεβληκέναι δὲ τοὔνομα. LIBER VIII ET SEQUENTES.

166 Stephanus: Ὤλενος ... Ἀπολλόδωρος δὲ ἀρσενικῶς αὐτήν φησιν ἐν ὀγδόῳ τοῦ νεῶν καταλόγου· «Τὸν Ὤλενον καὶ τὴν Παλλήνην νῦν μὲν οὐκέτι εἶναι συμβέβηκεν.» Strabo X: Ἀπολλόδωρος δὲ τοτὲ μὲν ἐν τῷ ἐπιθέτῳ λέγων διεστάλθαι τὴν ὁμωνυμίαν, εἰπόντα· «Σάμοιό τε παιπαλοέσσης,» ὡς τὴν νῆσον λέγοντα· τοτὲ δ’ ἀντιγράφεσθαι δεῖν· «Δουλιχίῳ τε Σάμῳ τε»,

ἀλλὰ μὴ «Σάμῃ τε», δῆλός ἐστι τὴν μὲν πόλιν Σάμην καὶ Σάμον συνωνύμως ὑπολαμβάνων ἐκφέρεσθαι, τὴν δὲ νῆσον Σάμον μόνον· ὅτι γὰρ Σάμη λέγεται ἡ πόλις, δῆλον εἶναι ἔκ τε τοῦ διαριθμούμενον τοὺς ἐξ ἑκάστης πόλεως μνηστῆρας φάναι, «Ἔκ τε Σάμης πίσυρές τε καὶ εἴκοσι φῶτες ἔασι,» καὶ ἐκ τοῦ περὶ τῆς Κτιμένης λόγου· «Τὴν μὲν ἔπειτα Σάμηνδ' ἔδοσαν.

167 » Idem: Ὁ δὲ Ἀπολλόδωρος μένειν καὶ νῦν, καὶ πολίχνιον λέγει ἐν αὐτῇ Ἀλαλκομενὰς τὸ ἐπ' αὐτῷ τῷ ἰσθμῷ κείμενον. Idem X: Ἀπολλόδωρος δὲ, ὡς πρότερον εἶπον, ὑπὲρ τῆς Μολυκρίας καὶ τὴν Χαλκίδα καὶ τὴν Ταφιασσὸν καὶ τὴν Καλυδῶνα μεταξὺ ἱδρῦσθαι φησὶ τῆς Χαλκίδος.

168 ... Τῆς δὲ μεσογαίας κατὰ μὲν τὴν Ἀκαρνανίαν Ἐρυσιχαίους τινάς φησιν Ἀπολλόδωρος λέγεσθαι, ὧν Ἀλκμὰν μέμνηται. Strabo, X: Μέγεθος δὲ Σωσικράτης μὲν, ὅν φησιν ἀκριβοῦν Ἀπολλόδωρος τὰ περὶ τὴν νῆσον, ἀφορίζεται, κ.

169 τ. λ. Idem VIII: Ἀπολλόδωρος δὲ διδάσκων, ὃν τρόπον ὁ ποιητὴς εἴωθε διαστέλλεσθαι τὰς ὁμωνυμίας, οἷον ἐπὶ τοῦ Ὀρχομενοῦ, τὸν μὲν Ἀρκαδικὸν πολύμηλον καλῶν, τὸν δὲ Βοιωτικὸν Μινύειον, καὶ Σάμον Θρηϊκίην, συντιθεὶς, Μεσσηγὺς δὲ Σάμου καὶ Ἴμβρου, ἵνα χωρίσῃ ἀπὸ τῆς Ἰωνικῆς, οὕτω φησὶ καὶ τὴν Θεσπρωτικὴν Ἔφυραν διαστέλλεσθαι τῷ τε «τηλόθεν» καὶ τῷ «ποταμοῦ ἀπὸ Σελλήεντος.

170a » Ταῦτα δ' οὐχ ὁμολογεῖ τοῖς ὑπὸ τοῦ Σκηψίου Δημητρίου λεγομένοις, παρ' οὗ μεταφέρει τὰ πλεῖστα. Ἐκεῖνος γὰρ οὔ φησιν εἶναι Σελλήεντα ἐν Θεσπρωτοῖς ποταμὸν, ἀλλ' ἐν τῇ Ἠλείᾳ παρὰ τὴν ἐκεῖ Ἔφυραν, ὡς προείπομεν, κ. τ. λ. Schol.

170b Il. N, 301: Νῦν οὖν λέγει τοὺς καλουμένους Κραννωνίους ἐν Θεσσαλίᾳ, ὡς Ἀπολλόδωρος ἱστορεῖ. Schol.

170c codicis Hamburgensis ad. Hom. Odyss. A, 259: [Ἐξ Ἐφύρης ἀνιόντα παρ' Ἴλλου Μερμερίδαο.] Ἰάσων ἅμα τῇ Μηδείᾳ ἐν Ἐφύρᾳ τῆς Θεσπρωτίας παραγενόμενος ἴσχει Φέρητα· οὗ Μέρμερος· οὗ Ἴλλος· οἵτινες ἐβασίλευσαν Θεσπρωτίας· ὡς ἱστορεῖ Ἀπολλόδωρος ὁ Ἀθηναῖος. Eustath.

170d ad Odyss. B, 328: Ἢ καὶ ἀπὸ Ἐφύρης τῆς προϊστορηθείσης, τῆς διὰ Μήδειαν πολυφαρμάκου, ὡς ἱστορεῖ Ἀπολλόδωρος ὁ Ἀθηναῖος. Suidas: Κάλυμνος, ὁ ἐν Αἰγύπτῳ σῖτος· ἀντὶ τοῦ Καλύμνιος· Ὁ γὰρ Φιλάδελφος ἐκ Καλυδνῶν μετήγαγε τὸ σπέρμα.

171a Ὁ (δὲ) Ἀπολλόδωρος φησὶ λέγεσθαι Καλύδνας ὡς Καλύβας. Etymol.

171b M: Κάλυμνος ὁ ἐν Αἰγύπτῳ σῖτος. Ἀντὶ τοῦ Καλύμνιος. Ὁ γὰρ Φιλάδελφος ἐκ Καλυδνῶν· μετήνεγκε τὸ σπέρμα. «Νήσους τε Καλυδνὰς», ἃς Ἀπολλόδωρος φησὶ λέγεσθαι Καλύδνας ὡς Καλύβας. Strabo VIII: Περὶ δὲ τῆ Ἑλλάδος καὶ Ἑλλήνων καὶ Πανελλήνων ἀντιλέγεται.

172 ... Ἀπολλόδωρος δὲ μόνους τοὺς ἐν τῇ Θετταλίᾳ καλεῖσθαι φησὶν Ἕλληνας (Il. B, 684)· Μυρμιδόνες δ' ἐκαλοῦντο καὶ Ἕλληνες. Ἡσίοδον μέντοι καὶ Ἀρχίλοχον ἤδη εἰδέναι καὶ Ἕλληνας λέγεσθαι τοὺς σύμπαντας καὶ Πανέλληνας· τὸν μὲν περὶ Προιτίδων λέγοντα, ὡς «Πανέλληνες ἐμνήστευον αὐτὰς,» τὸν δὲ, ὡς «Πανελλήνων ὀϊζὺς ἐν Θάσον συνέδραμεν.» Strabo VI: Φιλοκτήτου δ' ἐστὶ καὶ ἡ παλαιὰ Κρίμισα περὶ τοὺς αὐτοὺς τόπους.

173 Ἀπολλόδωρος δὲ ἐν τοῖς Περὶ νεῶν, τοῦ Φιλοκτήτου μνησθεὶς, λέγειν τινὰς φησὶν, ὡς εἰς τὴν Κροτωνιᾶτιν ἀφικόμενος Κρίμισαν ἄκραν οἰκίσαι, καὶ Χώνην πόλιν ὑπὲρ αὐτῆς, ἀφ' ἧς οἱ ταύτῃ Χῶνες ἐκλήθησαν· παρ' αὐτοῦ δέ τινες σταλέντες εἰς Σικελίαν, περὶ Ἔρυκα μετὰ Αἰγέστου τοῦ Τρωὸς Αἴγεσταν τειχίσαι Schol.

174 Apollonii III, 1090: Αἱμονία τοπρότερον ἡ Θεσσαλία ἐκαλεῖτο. Καὶ ἄλλας δὲ ἔσχεν ὀνομασίας. Ἐλέγετο δὲ καὶ Πυῤῥοδία ἀπὸ Πύῤῥας τῆς Δευκαλίωνος, [Ἡ Θεσσαλία ἐκαλεῖτο τοπαλαιὸν Πύῤῥα] ὡς Ῥιανός· Πύῤῥαν δήποτε, τήν γε παλαιότεροι καλέεσκον Πύῤῥης Δευκαλίωνος ἀπ' ἀρχαίης ἀλόχοιο· Αἱμονίην δ' ἐξαῦτις ἀφ' Αἵμονος, ὅν ῥα Πέλασγος γείνατο φέρτατον υἱόν· ὁ δ'

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὖ τέκε Θέσσαλον Αἵμων· τοῦ δ’ ἄπο Θεσσαλίην λαοὶ μετεφημίξαντο. Οἱ δὲ ἀπὸ Θεσσαλοῦ τοῦ Φειδίππου πατρὸς, τοῦ Ἡρακλείδου, μετὰ τὰ Τρωϊκὰ κληθῆναι φασί. Διαιρεῖται δὲ εἰς μέρη τέσσαρα· Πελασγιῶτιν, Θεσσαλιῶτιν, Ἰωλκῖτιν, Φθιῶτιν. Ταῦτα παρατίθεται Ἀπολλόδωρος ἐν νεῶν καταλόγῳ. Strabo VII: Οἴονται δὲ, φησὶν ὁ Ἀπολλόδωρος, ἀπὸ τῶν ἑλῶν τῶν περὶ τὸ ἱερὸν οὕτω καλεῖσθαι.

175 Τὸν μέντοι ποιητὴν οὐ λέγειν Ἑλλοὺς, ἀλλὰ Σελλοὺς ὑπολαμβάνει τοὺς περὶ τὸ ἱερὸν, προσθεὶς, ὅτι καὶ Σελλήεντά τινα ὀνομάζει ποταμόν. Ὀνομάζει μὲν οὖν, ὅταν φῇ (Il. B, 659)· Τηλόθεν ἐξ Ἐφύρης ποταμοῦ ἀπὸ Σελλήεντος· * ἐν δὲ Θεσπρωτοῖς Ἐφύρας, ἀλλ’ ἐν τοῖς ἐντὸς Ἠλείοις· ἐκεῖ γὰρ εἶναι τὸν Σελλήεντα, ἐν δὲ Θεσπρωτοῖς οὐδένα, οὐδ’ ἐν Μολοττοῖς. Bekker.

175a An.: Πυθόδωρος ἐν τῷ Περὶ στοιχείων καὶ Φίλλις ὁ Δήλιος ἐν τῷ Περὶ χρόνων πρὸ Κάδμου Δαναὸν μετακομίσαι αὐτά (sc. τὰ γράμματα) φασιν. Ἐπιμαρτυροῦσι τούτοις καὶ οἱ Μιλησιακοὶ συγγραφεῖς Ἀναξίμανδρος καὶ Διονύσιος καὶ Ἑκαταῖος, οὓς καὶ Ἀπολλόδωρος ἐν Νεῶν καταλόγῳ παρατίθεται. Cramer.

175b An. I: Ἄλος (Il. β, 682), πόλις Θεσσαλίας. Ἀπολλόδωρος δὲ ἀρσενικῶς λέγεσθαι τὴν πόλιν.

ΤΡΩΙΚΟΣ ΔΙΑΚΟΣΜΟΣ.

176 Strabo XII: Πρὸς Ἀπολλόδωρον δὲ περὶ τῶν αὐτῶν ἐν τῷ Τρωϊκῷ διακόσμῳ διαλεγόμενον, πολλὰ μὲν εἴρηται πρότερον, καὶ νῦν δὲ λεκτέον. Οὐ γὰρ οἴεται δεῖν δέχεσθαι τοὺς Ἁλίζωνας ἐκτὸς τοῦ Ἅλυος· μηδεμίαν γὰρ συμμαχίαν ἀφῖχθαι τοῖς Τρωσὶν ἐκ τῆς περαίας τοῦ Ἅλυος. Ἀλλ’ οὐδὲ δόξαν ἔχει τοιαύτην τῶν παλαιῶν εἰπεῖν, ὡς συμφωνούντων ἁπάντων, μηδένας ἐκ τῆς περαίας τοῦ Ἅλυος κοινωνῆσαι τοῦ Τρωϊκοῦ πολέμου. Πρὸς τοὐναντίον δὲ μᾶλλον εὕροι τις ἂν μαρτυρίας. Μαιάνδριος γοῦν ἐκ τῶν Λευκοσύρων φησὶ τοὺς Ἐνετοὺς ὁρμηθέντας συμμαχῆσαι τοῖς Τρωσίν. Αὐτὸς δὲ ὁ Ἀπολλόδωρος παρατίθησι τὸ τοῦ Ζηνοδότου, ὅτι γράφει (Il. B, 852)· Ἐξ Ἑνετῆς, ὅθεν ἡμιόνων γένος ἀγροτεράων. Ταύτην δέ φησιν Ἑκαταῖον τὸν Μιλήσιον δέχεσθαι τὴν Ἀμισόν. Ἡ δὲ Ἀμισὸς εἴρηται διότι τῶν Λευκοσύρων ἐστὶ, καὶ ἐκτὸς τοῦ Ἅλυος. Strabo XIV: Τοῦ ποιητοῦ δὲ εἰρηκότος οὑτωσί (Il.

177 B, 867)· Μάσθλης αὖ Καρῶν ἡγήσατο βαρβαροφώνων· οὐκ ἔχει λόγον, πῶς τοσαῦτα εἰδὼς ἔθνη βάρβαρα, μόνους εἴρηκε βαρβαροφώνους τοὺς Κᾶρας, βαρβάρους δὲ οὐδένας. Οὔτ’ οὖν Θουκυδίδης ὀρθῶς· οὐδὲ γὰρ λέγεσθαί φησι βαρβάρους, διὰ τὸ μηδὲ Ἕλληνάς πω ἀντίπαλον εἰς ἓν ὄνομα ἀποκεκρίσθαι· τό τε γὰρ, Μηδὲ Ἕλληνάς πω, ψεῦδος αὐτὸς ὁ ποιητὴς ἀπελέγχει· Ἀνδρὸς, τοῦ κλέος εὐρὺ καθ’ Ἑλλάδα καὶ μέσον Ἄργος· καὶ πάλιν· Εἴτ’ ἐθέλῃς τερφθῆναι ἀν’ Ἑλλάδα καὶ μέσον Ἄργος. Μὴ λεγομένων τε βαρβάρων, πῶς ἔμελλεν εὖ λεχθήσεσθαι τὸ βαρβαροφώνων; Οὔτε δὴ οὗτος εὖ· οὔτ’ Ἀπολλόδωρος ὁ γραμματικὸς, ὅτι τῷ κοινῷ ὀνόματι ἰδίως καὶ λοιδόρως ἐχρῶντο οἱ Ἕλληνες κατὰ τῶν Καρῶν, καὶ μάλιστα οἱ Ἴωνες, μισοῦντες αὐτοὺς διὰ τὴν ἔχθραν καὶ τὰς συνεχεῖς στρατείας. Ἐχρῆν γὰρ οὕτω βαρβάρους ὀνομάζειν. Ἡμεῖς δὲ ζητοῦμεν, διὰ τί βαρβαροφώνους καλεῖ, βαρβάρους δ’ οὐδ’ ἅπαξ. Ὅτι, φησὶ, τὸ πληθυντικὸν εἰς τὸ μέτρον οὐκ ἐμπίπτει, διὰ τοῦτ’ οὐκ εἴρηκε βαρβάρους. Idem XIV: Ὁ γὰρ Ἀπολλόδωρος ἐν τοῖς Περὶ νεῶν ἔτι καὶ τοιαῦτα λέγει· τοὺς γὰρ ἐκ τῆς Ἀσίας ἐπικούρους τῶν Τρώων ἅπαντας κατηριθμεῖσθαί φησιν ὑπὸ τοῦ ποιητοῦ τῆς χεῤῥονήσου κατοίκους ὄντας, ἧς ὁ στενότατος ἰσθμός ἐστι τὸ μεταξὺ τοῦ κατὰ Σινώπην μυχοῦ καὶ Ἰσσοῦ· αἱ δὲ ἐκτὸς πλευραὶ, φησὶ, τριγωνοειδοῦς οὔσης, εἰσὶ μὲν ἄνισοι, παρήκουσι δὲ ἡ μὲν ἀπὸ Κιλικίας ἐπὶ Χελιδονίας, ἡ δ’ ἐνθένδε ἐπὶ τὸ στόμα τοῦ Εὐξείνου, ἡ δ’ ἐπὶ Σινώπην πάλιν ἐνθένδε .

178 ... Διαιτῶν ταῦτα ὁ Ἀπολλόδωρος ἑπτακαιδέκατον φησὶν εἶναι τὸ τῶν Γαλατῶν, ὃ νεώτερον ἐστὶ τοῦ Ἐφόρου· ... Ἀπολλόδωρος δὲ τούτων μὲν ἐφρόντισεν οὐδὲν, τοῖς δὲ ἑκκαίδεκα ἔθνεσι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προστίθησιν ἑπτακαιδέκατον, τὸ τῶν Γαλατῶν, ἄλλως μὲν χρήσιμον λεχθῆναι, πρὸς δὲ τὴν δίαιταν τῶν τοῦ Ἐφόρου λεγομένων ἢ παραλειπομένων οὐδὲν δέον· εἴρηκε δὲ τὴν αἰτίαν αὐτὸς, ὅτι ταῦτα πάντα νεώτερα τῆς ἐκείνου ἡλικίας. Μεταβὰς δ’ ἐπὶ τὸν ποιητὴν, τοῦτο μὲν ὀρθῶς λέγει, διότι πολλὴ σύγχυσις γεγένηται τῶν βαρβάρων ἐθνῶν ἀπὸ τῶν Τρωϊκῶν ἐς τὰ νῦν διὰ τὰς μεταπτώσεις· καὶ γὰρ προσγέγονέ τινα καὶ ἐλλέλοιπε καὶ διέσπασται καὶ συνῆκται εἰς ἕν. Οὐκ εὖ δὲ τὴν αἰτίαν διττὴν ἀποφαίνει, δι’ ἣν οὐ μέμνηταί τινων ὁ ποιητὴς, ἢ τῷ μήπω τότ’ οἰκεῖσθαι ὑπὸ τοῦ ἔθνους τούτου, ἢ τῷ ἐν ἑτέρῳ γένει περιέχεσθαι ... Ἔτι καὶ ταῦτα μέμψαιτο ἄν τις τοῦ Ἀπολλοδώρου, ὅτι τῶν νεωτέρων καινοτομούντων πολλὰ παρὰ τὰς Ὁμηρικὰς ἀποφάσεις, εἰωθὼς ταῦτ’ ἐλέγχειν ἐπὶ πλέον, ἐνταῦθα οὐκ ὠλιγώρηκε μόνον, ἀλλὰ καὶ τἀναντία εἰς ἓν συνάγει τὰ μὴ ὡσαύτως λεγόμενα. Ὁ μὲν γὰρ Ξάνθος ὁ Λυδὸς μετὰ τὰ Τρωϊκά φησιν ἐλθεῖν τοὺς Φρύγας ἐκ τῆς Εὐρώπης καὶ τῶν ἀριστερῶν τοῦ Πόντου, ἀγαγεῖν δ’ αὐτοὺς Σκαμάνδριον ἐκ Βερεκύντων καὶ Ἀσκανίας· ἐπιλέγει δὲ τούτοις ὁ Ἀπολλόδωρος, ὅτι τῆς Ἀσκανίας ταύτης μνημονεύει καὶ Ὅμηρος, ἧς ὁ Ξάνθος· Φόρκυς δὲ Φρύγας ἦγε καὶ Ἀσκάνιος θεοειδὴς τῆλ’ ἐξ Ἀσκανίης. Ἀλλ’ εἰ οὕτως ἔχει, ἡ μὲν μετανάστασις ὕστερον ἂν εἴη τῶν Τρωϊκῶν γεγονυῖα ... Οὕτω δὲ περὶ τῶν Φρυγῶν εἰπὼν, ἐπιφέρει καὶ τὰ περὶ τῶν Μυσῶν οὐχ ὁμολογούμενα τούτοις· λέγεσθαι γάρ φησι καὶ τῆς Μυσίας κώμην Ἀσκανίαν περὶ λίμνην ὁμώνυμον, ἐξ ἧς καὶ τὸν Ἀσκάνιον ποταμὸν ῥεῖν, οὗ μνημονεύει καὶ Εὐφορίων· Μυσοῖο παρ’ ὕδασιν Ἀσκανίοιο· καὶ ὁ Αἰτωλὸς Ἀλέξανδρος· Οἳ καὶ ἐπ’ Ἀσκανίῳ δώματ’ ἔχουσι ῥόῳ Λίμνης Ἀσκανίης ἐπὶ χείλεσι· ἔνθα Δολίων υἱὸς Σιληνοῦ νάσσατο καὶ Μελίης.

178 Καλοῦσι δὲ, φησὶ, Δολωνίδα καὶ Μυσίαν τὴν περὶ Κύζικον ἰόντι εἰς Μιλητούπολιν. Steph.

179 Byz: Τένεδος ... ἔστι καὶ πόλις Τένεδος πρὸς τῇ Λυκίᾳ. Ἀπολλόδωρος δὲ Παμφυλίας αὐτὴν εἶναί φησι ... Ἀπολλόδωρος δὲ ἐν νεῶν καταλόγῳ φησὶν, ὅτι τοὺς μὲν τῆς Παμφυλίας Τενεδεῖς, τοὺς δὲ τῆς νήσου Τενεδίους. Schol.

180 Il. N, 12, Σάμου ὑληέσσης Θρηϊκίης: Σάμιοι οἱ ἐν Ἰωνίᾳ μετὰ διακοσιοστὸν καὶ ἔννατον ἔτος τῶν Τρωϊκῶν χρησμὸν ἔλαβον παρὰ τοῦ Πυθίου εἰς τὴν ἐν Τρωάδι Θρᾴκην μετοικῆσαι· ἀφ’ ὧν ἡ Σαμοθρᾴκη προσηγορεύθη. Ἡ ἱστορία παρὰ Ἀπολλοδώρῳ. ΤΑ ΠΕΡΙ ΣΩΦΡΟΝΟΣ.

181 Schol. Il. E, 576: Παρὰ δὲ Σικελιώταις τὸ μὲν ἀρχαῖον (sc. τάλαντον) ἦν μνῶν κδ′, νῦν δὲ ιβ′. Δύναται δὲ εἶναι τρία ἡμιωβόλια, ὡς ἐν τοῖς περὶ Σώφρονος Ἀπολλόδωρος, ἐκ τῶν Διογενιανοῦ τῆς ἐπιτομῆς Ἑλληνικῶν ὀνομάτων. Athen.

182 III: Ἀπολλόδωρος δ’ ὁ Ἀθηναῖος ἐν τοῖς περὶ Σώφρονος προθεὶς τὸ «λιχνότερα τᾶν πορφυρᾶν», φησὶν ὅτι παροιμία ἐστὶ καὶ λέγει, ὡς μέν τινες, ἀπὸ τοῦ βάμματος· οὗ γὰρ ἂν προσψαύσῃ, ἕλκει ἐφ’ ἑαυτὸ, καὶ τοῖς προσπαρατεθειμένοις ἐμποιεῖ χρώματος αὐγήν· ἄλλοι δὲ ἀπὸ τοῦ ζῴου. Idem lib.

183 VII: Σικελιῶται δ’ εἰσὶν, οἱ τὸν κωβιὸν κώδωνα καλοῦντες, ὡς Νίκανδρός φησιν ὁ Κολοφώνιος ἐν ταῖς Γλώτταις, καὶ Ἀπολλόδωρος ἐν τοῖς περὶ Σώφρονος. Athenaeus VII: Ἀπολλόδωρος ὁ Ἀθηναῖος ἐν τῷ τρίτῳ περὶ Σώφρονος, τῷ εἰς τοὺς ἀνδρείους μίμους, προθεὶς τὸ, «Καταπυγοτέραν τ’ ἀλφηστᾶν,» φησίν· «Ἰχθῦς τινες οἱ ἀλφησταὶ, τὸ μὲν ὅλον κιῤῥοειδεῖς, πορφυρίζοντες δὲ κατά τινα μέρη.

184 Φασὶ δ’ αὐτοὺς ἁλίσκεσθαι σύνδυο, καὶ φαίνεσθαι τὸν ἕτερον ἐπὶ τοῦ ἑτέρου κατ’ οὐρὰν ἑπόμενον. Ἀπὸ τοῦ οὖν κατὰ τὴν πυγὴν θατέρῳ τὸν ἕτερον ἀκολουθεῖν, τῶν ἀρχαίων τινὲς τοὺς ἀκρατεῖς καὶ καταφερεῖς οὕτω καλοῦσιν.» Schol.

185 Aristoph. ad Vesp. 523: ἐπιῤῥοφεῖν ἀγαθοῦ δαίμονος. Ὁ δὲ Ἀπολλόδωρος καὶ, ὅτι τὸ ποτήριον (τοῦ ἀγαθοῦ δαίμονος) μεστὸν πάλιν ἀπεπλήρουν, δεδήλωκεν ἐν τῇ δ′ περὶ Σώφρονος. ΠΕΡΙ ΕΠΙΧΑΡΜΟΥ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

186 Suidas: Καρδιώττειν· τὴν καρδίαν ἀλγεῖν, Σικελιῶται· ἡμεῖς δὲ βουλιμιᾶν Ἀπολλόδωρος ἐν ἕκτῳ περὶ Ἐπιχάρμου τοὺς Σικελιώτας φησὶ τὸ τὸν στόμαχον ἐπιδάκνεσθαι ὑπὸ λιμοῦ καρδιώττειν λέγειν, ὅπερ βουλιμιᾶν λέγει Ξενοφῶν. Athenaeus XIV: Τὰ δὲ ψευδεπιχάρμεια ταῦτα .

187 .. πεποιήκασιν ἄνδρες ἔνδοξοι, Χρυσόγονός τε ὁ αὐλητὴς, ὥς φησιν Ἀριστόξενος ἐν ὀγδόῳ πολιτικῶν νόμων, τὴν Πολιτείαν ἐπιγραφομένην· Φιλόχορος δ’ ἐν τοῖς περὶ μαντικῆς Ἀξιόπιστον τὸν εἴτε Λοκρὸν γένος ἢ Σικυώνιον τὸν Κανόνα καὶ τὰς Γνώμας πεποιηκέναι φησίν. Ὁμοίως δὲ ἱστορεῖ καὶ Ἀπολλόδωρος. Varro De Ll.

188a IV: De victu antiquissima puls; haec appellata vel quod ita Graeci, vel ab eo, ut scribit Apollodorus, quod ita sonet, quom aquae ferventi insipitur » ΠΕΡΙ ΕΤΥΜΟΛΟΓΙΩΝ sive ΕΤΥΜΟΛΟΓΟΥΜΕΝΩΝ.

188b Varro De L. L. lib. VI, pr.: Origines verborum, quae sint locorum, et ea quae in his, in priore libro scripsi; in hoc dicam de vocabulis temporum ... atque si qua erunt ex diverso genere adjuncta, potius cognationi verborum, quam auditori calumnianti, geremus morem. Hujus rei auctor satis mihi Chrysippus et Antipater, et illi, in quibus etsi non tantum acuminis, at plus literarum: in quo est Aristophanes et Apollodorus: qui omnes verba ex verbis ita declinari scribunt, ut verba literas alia assumant, alia mittant, alia commutent. Ven.

188c A. ad Il. A, 244: Οὐδὲν ἔτισας, πλεονάζει τὸ δέν. ... Ἀρίσταρχος παρέλκειν λέγει τὸ δέν. Ἀπολλόδωρος δὲ ἐν Γλώσσαις, εἶναι τὸ πλῆρες, οὐδὲ ἕν. Idem, Π, 95, πάλιν τροπάασθαι: Νικίας ὑφ’ ἓν ἀνέγνω παλιντροπάασθαι.

188d Ἀπολλόδωρος δὲ, κατὰ διάλυσιν. Idem, Ω, 110: .

188e .. προτιάπτω. Ἀπολλόδωρος ... διὰ τοῦ τ τὴν πρόθεσιν γράφουσι. LIBER I.

189 Athenaeus XI: Κύμβη. Φιλήμων ἐν ταῖς Ἀττικαῖς φωναῖς, κύλικος εἶδος. Ἀπολλόδωρος δὲ ἐν τῷ Περὶ ἐτυμολογιῶν Παφίους τὸ ποτήριον καλεῖν κύμβα. Athenaeus XIV: Ὠνομάσθη δὲ ἡ ματτύη, ὡς μὲν ὁ Ἀθηναῖος Ἀπολλόδωρος φησὶν ἐν τῷ πρώτῳ τῶν Ἐτυμολογουμένων, ἀπὸ τοῦ μασᾶσθαι, ὥσπερ καὶ ἡ μαστίχη, καὶ τὰ μάλιστα καὶ [ἡ μᾶζα].

190 Ἡμεῖς δὲ φαμὲν ἀπὸ τοῦ μάττειν. LIBER II.

191 Athenaeus II: Ἀπολλόδωρος δὲ ἐν δευτέρῳ Ἐτυμολογιῶν, τῶν κοχλιῶν φησὶ τινὰς καλεῖσθαι κωλυσιδείπνους. Apollonius Lexic.

192 Homer.: Ἀείρας. ... ἐπὶ δὲ τοῦ πρόσφερε· μή μοι οἶνον ἄειρε. ... Εἴρηται δὲ οὕτως, ἐπεὶ ὁ προσφέρων αἴρει τὸ προσφερόμενον, καὶ αἴρειν τὸ προσφέρειν. Ἀπὸ δὲ τούτου καὶ τὸν ἄρτον ὠνομάσθαι, ὥς φησιν Ἀπολλόδωρος. Idem ibid.

193 : Ἄταλλε· ὁ μὲν Ἀπολλόδωρος, ἔσαινε καὶ ἐσκίρτα. Ὥσπερ δὲ ἀπὸ τοῦ παιδὸς, παίζειν, οὕτως ἀπὸ τοῦ ἀταλοῦ ἀτάλλειν. Ἀταλὸν δὲ, τὸ ἁπαλὸν καὶ νήπιον λέγεται οὐκ ἀπιθάνως. Idem ibid.

194a : Οἰοπόλῳ. Ἀπολλόδωρος, ἐν ᾧ ὄϊες πολοῦνται. Schol.

194b Il. N, 473: Οἰοπόλῳ· ἤτοι ἐν ᾧ ὄϊες ἀναστρέφονται, ὅ ἐστι πρόβατα. Πολεῖν γὰρ τὸ ἀναστρέφεσθαι. Idem ibid.

195 : Πεξαμένη (Il. Ξ, 176) ὁ Ἀπίων, κτενισαμένη, καὶ ὁ Ἀπολλόδωρος. Ἐπιφέρει δὲ καὶ τὸ τὰ ἔρια ξαίνειν, πέκειν· καὶ τὸ κείρειν ταὐτὸ, πέξαι. Καὶ ὁ πόκος. Δηλοῖ δὲ καὶ τὸ, καταξάνασα. Idem ibid.

196 : Σακεσπάλος (Il. E, 126). Ἀπολλόδωρος· ἤτοι τὰ τῶν πολεμίων σάκη διασείων. Erotianus: Χέλωμα, χάλασμα.

197

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Φησὶν Ἀπολλόδωρος. Zenobius Cent.
198 II, 94: Γραῦς Σέριφος· Ἀπολλόδωρος φησὶν, ὅτι ἐστί τις παροιμιώδης λεγομένη Σεριφία γραῦς, ἡ
ἐν παρθενίᾳ γεγηρακυῖα. Athenaeus II: Ἐγκέφαλοι χοίρειοι.
199 ... Ἀπολλόδωρος δ’ ὁ Ἀθηναῖος οὐδ’ ὀνομάζειν τινὰ τῶν παλαιῶν φησιν ἐγκέφαλον· καὶ
Σοφοκλέα γοῦν ἐν Τραχινίαις, ποιήσαντα τὸν Ἡρακλέα ῥιπτοῦντα τὸν Λίχαν ἐς θάλασσαν, οὐκ
ὀνομάσαι ἐγκέφαλον, ἀλλὰ «λευκὸν μυελὸν», ἐκκλίνοντα τὸ μὴ ὀνομαζόμενον (v. 794)· Κόμης
δὲ λευκὸν μυελὸν ἐκραίνει, μέσου κρατὸς διασπαρέντος αἵματός θ’ ὁμοῦ·» καίτοι τἄλλα
διαῤῥήδην ὀνομάσαντα. Καὶ Εὐριπίδης δὲ τὴν Ἑκάβην θρηνοῦσαν εἰσαγαγὼν τὸν Ἀστυάνακτα
ὑπὸ τῶν Ἑλλήνων ῥιφθέντα, φησί· Δύστηνε κτλ. V. Troad. v. 1173—77. Idem IV: Οὐκ ἀγνοῶ δὲ
καὶ περὶ Δηλίων ἃ Ἀπολλόδωρος ὁ Ἀθηναῖος εἴρηκεν, ὅτι μαγείρων καὶ τραπεζοποιῶν
παρείχοντο χρείας τοῖς παραγινομένοις πρὸς τὰς ἱερουργίας, καὶ ὅτι ἦν αὐτοῖς ἀπὸ τῶν
πράξεων ὀνόματα, Μάγαδις καὶ Γογγύλος. [5]
201 Idem XIV: Κυριβάνας· πλακοῦντάς τινας ὀνομαστικῶς Ἀπολλόδωρος παρ’ Ἀλκμᾶνι. Idem XIV:
Ψωθία τὰ ψαθύρια.
202 ... Ἀπολλόδωρος δὲ ὁ Ἀθηναῖος καὶ Θεόδωρος ἐν Ἀττικαῖς γλώσσαις τοῦ ἄρτου τὰ ἐπιψαυόμενα
ψωθία καλεῖσθαι· ἅτινα ὀνομάζειν ἀτταράγους. Schol.
203 Aristoph. Plut. 535: Φῷδες. ... Ἀπολλόδωρος τὰ ἐκ τοῦ πυρὸς ἐρυθήματα ἢ ἐκ ψύχους, ἢ τοὺς
τύλους καὶ τὰ ἐπικαύματα τὰ ἐκ τοῦ πυρός· ὡς τῶν πενήτων διὰ τὸ αὐτουργεῖν τοῦτο
πασχόντων. Schol.
204 Apollonii III, 281: Ὀξέα δενδίλλων. Ἀντὶ τοῦ ὀξέως παρεπιστρεφόμενος, καὶ εἰς αὐτὸν τοῖς
ὀφθαλμοῖς ἐπινεύων. Ὅμηρος δὲ ἐπὶ τοῦ στρέφειν (sc. τοὺς ὀφθαλμοὺς) τέθεικε τὴν λέξιν, τὸ
ἐν ἐπιστροφῇ τοῦ προσώπου παρεγκλίναντα τοῖς ὀφθαλμοῖς ἐπινεύειν, ὥσπερ καὶ
Ἀπολλόδωρος. Schol. [5]
205 Il. A, 148: Ὑπόδρα, ἐπίῤῥημα, πόθεν γίνεται; ὁ μὲν Ἀπολλόδωρος δύο λέγει παραγωγὰς, ὁ δὲ
Ἡρωδιανὸς μίαν. Schol.
206a Ven. ad Il. Z, 97: ἄγριον, αἰχμητὴν κρατερὸν, μνήστωρα φόβοιο, Idem ad Θ, 221 ad verba, φᾶρος
ἔχων ἐν χειρὶ παχείῃ: Τί ποτε σημαίνει; ὁ μὲν Ἀπολλόδωρος, ὅτι περιειλήσας εἶχεν ἐν τῇ χειρί.
207 Schol. Nicandri Alexiph. 393: Τὸν δὲ στρόμβον, ὃν ἔλεγον οἱ ἀρχαῖοι ὄστρακον τῶν κογχυλίων
οἷς καὶ ἐχρῶντο ἀντὶ σάλπιγγος. Καὶ Ἀπολλόδωρος ἐν τοῖς Ὁμήρου οὕτως εἶπε· Στρόμβον δ’ ὡς
ἔσσευεν· Hesych. [5]
208 : Ἄγος τὸν ἀγκῶνα, ... Ἀπολλόδωρος δὲ τὸ ἐντὸς τοῦ βραχίονος μέρος. Idem: Ἁλίπλοα· τῇ
θαλάσσῃ ἐπιπλέοντα, ὡς Ἀπολλόδωρος.
210 Idem: Παριαμβίδες· Ἀπολλόδωρος παρὰ τοὺς Ἰάμβους αὐτὰς φησὶ πεποιῆσθαι, ἃς οἱ κιθαρῳδοὶ
ᾄδουσιν. Etymol.
211 : Ἀλάστωρ. ... Κατὰ δὲ Ἀπολλόδωρον, ἀπὸ τοῦ ἀλιτεῖν, ὅ ἐστιν ἀλιτανεύτως ἀδικεῖν. Bekk.
211a An.: Ἐργοδοτῶν, ὡς κἀν τῇ συνηθείᾳ. Ἀπολλόδωρος. Idem: Ἄφλαστα, τὰ ἀκροστόλια.
211b Ἀπολλόδωρος. Idem: Ἀσαλής· ἡ ἄφροντις, ἡ μηδενὸς φροντίζουσα.
212 Σάλη γὰρ ἡ φροντίς. Ἀσαλὴς ὁ ἀμέριμνος. Αἰσχύλος, ἀσαλὴς μανία· οὕτως Ἡρωδιανὸς καὶ
Ἀπολλόδωρος. Καὶ γὰρ ἀσαλέαν ὁ Σώφρων τὴν ἀμεριμνίαν καὶ ἀλογιστίαν καλεῖ. Idem:
Δατητής. [5]
213

Eulogikon public reading copy · View original HTML at eulogikon.org

... Ἀπολλόδωρος διὰ τοῦ ς φησί· παρὰ τὸ δαίω δαστὸς, καὶ ῥῆμα δαστῶ· ὁ παρακείμενος δεδάστηται, καὶ ἐνδείᾳ τοῦ ς, δεδάτηται· ἀφ' οὗ ὄνομα δατητὴς, ὡς πεποίηται, ποιητής, διαιρετῆρες, μερισταί. Idem: Ἑλινὸς, ἡ ἄμπελος, ὡς Ἀπολλόδωρος. [5]

215 Idem: Κεραμεὺς παρὰ τὸ κέραμος. Τοῦτο παρὰ τὴν ἔραν ἔραμος καὶ κέραμος. Ἀπολλόδωρος τὴν κεκαυμένην γῆν ἔραν φησίν. Idem: Κεφαλή.

216 ... Ἡ κατὰ Ἀπολλόδωρον, καλύφη τις οὖσα, παρὰ τὸ καλύπτειν καὶ σκέπειν τὸν ἐγκέφαλον. Idem: Κινυρή· ὀδυρτική.

217 Κυρίως δὲ κινύρεσθαι ἐπὶ βοὸς εἴρηται, παρὰ τὸ κινεῖν τὴν οὐρὰν ἐν τῷ μυκᾶσθαι. Καὶ Ἀπίων δὲ εὑρὼν τὴν ἐτυμολογίαν ταύτην παρὰ Ἀπολλοδώρῳ, φησὶν ὅτι ταῦρος λέγεται παρὰ τὸ τείνειν τὴν οὐράν, καὶ μετέθηκε τὴν εὕρεσιν τῆς ἐτυμολογίας. Etym: Κόρση, ἡ κεφαλή. [5]

218 Ὡς μὲν Ἀπολλόδωρος, ἐκ τοῦ κορυφοῦσθαι. Idem: Κρῆτες.

219 ... ὁ Ἀπολλόδωρος παρὰ τὸ εὖ κεκρᾶσθαι τὸν περὶ τὴν νῆσον ἀέρα. Idem: Κρόταφοι .

220 .. ὡς δὲ Ἀπολλόδωρος, ὅτι συγκεκρότηνται ἀμφοτέρωθεν. Idem: Ὀρσοθύρη· .

221 .. φησὶ δὲ Ἀπολλόδωρος ὀρσορόκα ὑπ' ἐνίων λέγεσθαι, δι' ἧς τὸ ὕδωρ ὄρνυται. Idem: Ὀσφύς .

222 .. ὡς δὲ Ἀπολλόδωρος, οἱονεὶ ὀστοφυής τις οὖσα· ὀστώδης γάρ. Idem: Πώγων· ὡς μὲν Ἀπολλόδωρος, ὅτι πῆξιν ἡλικίας σημαίνει.

224 Idem: Ῥάχις· ὡς μὲν Ἀπολλόδωρος, ἀπὸ τοῦ ῥῆξιν εἶναι καὶ τὰ δεξιὰ μέρη διακρίνειν ἀπὸ τῶν εὐωνύμων. Idem: Ὦτα.

225 Ἀπολλόδωρος μὲν, ἀπὸ τοῦ δέχεσθαι τὴν ὄσσαν. Photius Lexicon: Μέλασμα· τὸ βάμμα τῆς κεφαλῆς.

226 Ἀπολλόδωρος. Idem: Πελικάν· Βοιωτοὶ τὴν ξυλίνην λεκάνην, διὰ τὸ ἐκπεπελεκῆσθαι.

227 Ἀπολλόδωρος δὲ ποτηρίου εἶδος. Idem: Σκιαγράφος, ὁ νῦν σκηνογράφος.

228 Οὕτως Ἀπολλόδωρος. Suidas: Κύβος, πᾶν τετράγωνον.

229a Κύβος, ὁ κύκλωθεν βάσιν ἔχων. Ἀπολλόδωρος ἀπὸ τῆς κυφότητος· τὸ γὰρ ἐπὶ κεφαλὴν κυλισθῆναι κυβιστῆσαι ἔλεγον. Καὶ ἐν Ἐπιγράμματι· Οἶδ' ὅτι ῥίπτω πάντα κύβον κεφαλῆς αἰὲν ὕπερθεν ἐμῆς. Etymol. [5]

229b M.: Κύβος· ὁ κύκλωθεν βάσιν ἔχων, ἢ πᾶσα τετράγωνος ψῆφος. Ἀπολλόδωρος δὲ ἀπὸ τῆς κυφότητος. Τὰ γὰρ ἐπὶ κεφαλὴν κύψαντα κυλισθῆναι, κυβιστῆσαι ἔλεγον. Καὶ κυβιστᾷν, τὸ ἐπὶ κεφαλῆς πηδᾷν. Κύβην γὰρ ἔλεγον τὴν κεφαλήν. Παρὰ τὸ κύπτω, κύψω, γίνεται κύβος. Ἐξ αὐτοῦ κυβιστὴς, καὶ κυβιστὴρ ὁ κολυμβητής. Suidas: Λαρινοὶ βόες. [5]

230 ... Ἀπολλόδωρος δὲ αὖ τοὺς εὐτραφεῖς, λαρινούς. Λαρινεύειν γὰρ τὸ σιτεύειν. Idem: Ῥάξαι· ἀντὶ τοῦ καταβαλεῖν.

231 Οὕτως Ἀπολλόδωρος. Idem: Φροῦδος· πρὸ ὁδοῦ, οἱονεὶ ἀπεληλυθώς, ἔκδημος.

232 Ἀπολλόδωρος· «Φροῦδος μὲν ὁ πρὸ ὁδοῦ, φησὶν, ἢ ἤδη ἔξω ὤν.» Eustath.

233 Il. E: ... καὶ ὅτι κακῶς δασύνουσί τινες τοῦ Ἐνυὼ τὸ υ. Ἄμεινον γάρ φησι ψιλοῦν ... ἢ καὶ διότι ἀπὸ τοῦ ἐναύειν γίνεται κατὰ Ἀπολλόδωρον, ὅ ἐστιν ἐμφωνεῖν. Idem Il. [5]

234 I, 147: [Φίλην ἀνάεδνον ἀγέσθω Πρὸς οἶκον Πηλῆος· ἐγὼ δ' ἐπὶ μείλια δώσω] Ἔτι ἰστέον καὶ ὅτι Ἀρίσταρχος μὲν ἓν μέρος λόγου λαμβάνει τὸ, ἐπιμείλια, ὡς τὸ ἐπιφέρνια. Ἀπολλόδωρος δὲ διαλύει, λέγων· ἐπιδώσω μείλια· ὡς καὶ κατωτέρω εὐθὺς ἐπάγει, Ὅσς' οὔπω τις ἑῇ ἐπέδωκε θυγατρί. Idem Odyss. [5]

235

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Γ, 444: Φησὶ δὲ καὶ Ἀπολλόδωρος, ὡς εἰκὸς ἦν καὶ παρὰ τῷ ποιητῇ οὕτως αὐτὸ προφέρεσθαι· περιαιρεθῆναι δὲ τὸ ἰῶτα ὑπό τινων. Idem Odyss.

236 Λ, 579: Δέρτρον ... Ἀπολλόδωρος δὲ, τὸν περὶ κοιλίαν ἐπίπλουν, ὃν καὶ ἀργέτην δημὸν ἐκεῖνος καλεῖ. Idem Odyss.

237 Μ, 22: Τὸ δὲ «δισθανέες» ἐν δυσὶ μέρεσι λόγου ἀναγινώσκει Ἀπολλόδωρος, λέγων, ὅτι τὸ δὶς καὶ τρὶς ἀποβάλλει τὸ σῖγμα ἐν ταῖς συνθέσεσιν· οἷον δίπους, τρίπους. Ὤφειλεν οὖν καὶ διθανέες. Νοητέον δὲ τὸν Ἀπολλοδώρου λόγον χωρὶς τῶν ἀριθμητικῶν· δισχιλίους γὰρ μετὰ τοῦ σῖγμα καὶ τρισχιλίους φαμέν. Καὶ οὕτω μὲν αὐτός. Herodian.

237a Περὶ μον. λέξ.: Κριτή ς. Οὐδὲν εἰς της λῆγον δισύλλαβον ἀρσενικὸν ὀξύνεσθαι θέλει, ἀλλὰ μόνον τὸ κριτή ς· τὸ γὰρ ληϊστὴς τρισύλλαβόν ἐστι· διὸ ἔχει προκείμενον τὸ ι· τὸ δὲ ψαλτὴς Ἀττικόν ἐστι ὀξυνόμενον, ὡς ἱστορεῖ Ἀπολλόδωρος. Apollon.

237b gramm. De pronom.: Καὶ Ἀπολλόδωρος ὁ Ἀθηναῖος καὶ ὁ Θρᾷξ Διονύσιος καὶ ἄρθρα δεικτικὰ τὰς ἀντωνυμίας ἐκάλεσαν. Cramer.

237c Anecd. Oxon. II: Θεό ς, ἀπὸ τοῦ θεῖν· τινὲς δὲ ἀπὸ τοῦ αἴτιον εἶναι τοῦ θεᾶσθαι διὰ τὴν αὐγὴν τοῦ ἡλίου καὶ τῆς σελήνης. Idem An Ox.

237d I (Epimer. Hom): Ἀνέμοιο (Il. ζ, 346)· ὄνομα προσηγορικὸν ἀπὸ ῥήματος. Ἀπολλόδωρος παρὰ τὸ ἀνύειν· ὁ δὲ ποιητὴς παρὰ τὸ ἀεῖν. Idem ib.

237e I: Ὑπόδρα (Il. α, 143) ἐπίρρημα πόθεν γίνεται; Ὁ μὲν Ἀπολλόδωρος δύο λέγει παραγωγὰς, ὁ δὲ Ἡρωδιανὸς μίαν ἀπὸ παρακειμένου οὕτως· ὥσπερ ἀπὸ τοῦ ἠρεμῶ γίνεται ἠρέμα, καὶ ἀπὸ τοῦ σιγῶ σίγα, οὕτως καὶ ἐκ τοῦ ὁρῶ ὅρα, καὶ μετὰ τῆς ὑπὸ ὑπόρα, καὶ πλεονασμῷ τοῦ δ ὑπόδρα, τὸ ὑφορᾶσθαι. Καὶ ἄλλως. Ἔστι δρῶ, καὶ σημαίνει τὸ βλέπω, ἐξ οὗ καὶ δράσις καὶ δρᾶμα· ἐκ τοῦ οὖν δρῶ γίνεται δρᾶ, καὶ μετὰ τῆς ὑπὸ ὑπόδρα, τὸ ὑποβλέπειν, καὶ δραπέτης. Ὁ δὲ Ἡρωδιανὸς λέγει ὅτι ἐκ τοῦ ὑποδρὰξ γίνεται κτλ. Idem ib.

237f I: Ἀπὸ τῆς ἀμφί προθέσεως τὸ ἀμφίς ἐπίρρημα ταύτης παραλαμβάνεται· «Οἵπερ νέρτεροί εἰσι θεοὶ Κρόνον ἀμφὶς ἐόντες (Il. ο, 225)». Οὐδεμία γὰρ πρόθεσις πλεονάζει τὸ ς. Τὸ δὲ ε, οἷον ἀμφί ἕ, ἀντωνομία νῦν ἀρσενικὴ ὀρθοτονουμένη, νῦν μεταλαμβανομένη εἰς σύνθετον· Ἀπολλόδωρος δὲ ψιλοῖ τὸ ἕ. ΠΕΡΙ ΤΩΝ ΑΘΗΝΗΣΙΝ ΕΤΑΙΡΩΝ.

238a Athenaeus XIII: Σὺ δὲ, ὦ σοφιστὰ, ἐν τοῖς καπηλείοις συναναφύρῃ οὐ μεθ' ἑταίρων, ἀλλὰ μεθ' ἑταιρῶν, μαστροπευούσας περὶ σαυτὸν οὐκ ὀλίγας ἔχων καὶ περιφέρων ἀεὶ τοιαυτὶ βιβλία Ἀριστοφάνους καὶ Ἀπολλοδώρου καὶ Ἀμμωνίου καὶ Ἀντιφάνους, ἔτι δὲ Γοργίου τοῦ Ἀθηναίου, πάντων τούτων συγγεγραφότων περὶ τῶν Ἀθήνησιν ἑταιρίδων. Idem XIII: Αἱ γὰρ καλαὶ ἡμῶν Ἀθῆναι τοσοῦτο πλῆθος ἤνεγκαν ἑταιρῶν .

238b .. Ἀνέγραψε γοῦν Ἀριστοφάνης μὲν ὁ Βυζάντιος ἑκατὸν καὶ τριάκοντα πέντε, Ἀπολλόδωρος δὲ τούτων πλείους. Athen.

239 XIII: Περὶ δὲ τῆς Φανοστράτης Ἀπολλόδωρός φησιν ἐν τῷ περὶ τῶν Ἀθήνησιν ἑταιρίδων, ὅτι Φθειροπύλη ἐπεκαλεῖτο, ἐπειδήπερ ἐπὶ τῆς θύρας ἑστῶσα ἐφθειρίζετο. ... Ἑταιρῶν ἐπωνυμία αἱ ἀφύαι· περὶ ὧν ὁ προειρημένος Ἀπολλόδωρος φησίν· Σταγόνιον καὶ Ἀνθὶς ἀδελφαὶ, αὗται Ἀφύαι ἐκαλοῦντο, ὅτι καὶ λευκαὶ καὶ λεπταὶ οὖσαι τοὺς ὀφθαλμοὺς μεγάλους εἶχον. Harpocration: Φανοστράτη, .

240 .. Ἀπολλόδωρος ἐν τῷ περὶ τῶν Ἀθήνησιν ἑταιρῶν, ταύτην φησὶν ὀνομάζεσθαι Φθειροπύλην, ἐπειδὴ ἐπὶ τῆς θύρας ἑστῶσα ἐφθειρίζετο. Idem: Νάννιον .

241

Eulogikon public reading copy · View original HTML at eulogikon.org

.. Ἀπολλόδωρος ἐν τῷ περὶ τῶν ἑταιρῶν, Αἶγα λέγεσθαι φησὶ ταύτην τὴν ἑταίραν, διὰ τὸ Θαλλὸν τὸν κάπηλον καταφαγεῖν· ὅτι γὰρ θαλλῷ χαίρουσιν αἱ αἶγες, καὶ Σοφοκλῆς Ποιμέσιν etc. Athen.

242 XIII: Ἀπολλόδωρος δὲ ἐν τῇ περὶ ἑταιρῶν, δύο ἀναγράφει Φρύνας γεγονέναι· ὧν τὴν μὲν ἐπικαλεῖσθαι κλαυσιγέλωτα, τὴν δὲ σαπέρδιον. Athenaeus XIV: Ἀπολλόδωρος δ' ἐν τῇ πρὸς τὴν Ἀριστοκλέους ἐπιστολὴν ἀντιγραφ ῇ, «ὃ νῦν, φησὶν, ἡμεῖς λέγομεν ψαλτήριον, τοῦτ' εἶναι μάγαδιν· ὁ δὲ κλεψίαμβος κληθεὶς, ἔτι δὲ ὁ τρίγωνος καὶ ὁ ἔλυμος καὶ τὸ ἐννεάχορδον ἀμαυρότερα τῇ χρείᾳ καθέστηκε».

t243-247 ΠΕΡΙ ΚΡΑΤΗΡΟΣ, sive ΠΕΡΙ ΚΥΛΙΚΩΝ. Athenaeus XI: Παρθένιος δ' ὁ τοῦ Διονυσίου ἀμφίθετον ἀκούει τὴν ἀπύθμενον φιάλην· Ἀπολλόδωρος δ' ὁ Ἀθηναῖος ἐν τῷ περὶ τοῦ κρατῆρος ῥησειδίῳ τὴν κατὰ τὸν πυθμένα μὴ δυναμένην τίθεσθαι καὶ ἐρείδεσθαι, ἀλλὰ κατὰ τὸ στόμα.

243b Eustath. ad Il. Ψ, 616: Ἀπολλόδωρος δὲ, φασὶν, ἀμφίθετον λέγει, τὴν μὴ κατὰ πυθμένα, κατὰ μόνον δὲ στόμα δυναμένην ἐρείδεσθαι. Athenaeus XI: Κοτύλη.

244 ... Ἀπολλόδωρος δὲ ποτηρίου τι γένος ὑψηλὸν καὶ ἔγκοιλον. Athenaeus XI: Κύμβα ποτήριον Ἀπολλόδωρος Παφίοις.

246 Athen. XI: Λεπαστής. ... Ἀμερίας δέ φησι τὸν οἰνοχόην λεπαστὴς καλεῖσθαι. Ἀριστοφάνης δὲ καὶ Ἀπολλόδωρος, γένος εἶναι κύλικος. Athen.

247 XI: Σελευκὶς, ὅτι ἀπὸ Σελεύκου βασιλέως τὴν προσηγορίαν ἔσχε τὸ ἔκπωμα, προείρηται, ἱστοροῦντος τοῦτο καὶ Ἀπολλοδώρου τοῦ Ἀθηναίου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org